3 μνήμης τὰ πλείονα. οὐ σωφρονεῖς ὡς ἔοικεν, ὦ γύναι, οὐδὲ ὑγιές τι διανοῇ, ἀλλὰ ἁμιλλᾷ ἐν ταῖς ἀστικαῖς ταυταισὶ ταῖς ὑπὸ τρυφῆς διαρρεούσαις, ὧν καὶ τὸ πρόσωπον ἐπίπλαστον καὶ ὁ τρόπος μοχθηρίας ὑπεργέμων· φύκει γὰρ καὶ ψιμυθίῳ καὶ παιδέρωτι δευσοποιοῦσι τὰς παρειὰς ὑπὲρ τοὺς δεινοὺς τῶν ζωγράφων. σὺ δὲ ἣν ὑγιαίνῃς, ὁποίαν σε τὸ ὕδωρ ἢ τὸ ῥύμμα τὸ πρὶν ἐκάθηρε, τοιαύτη διαμενεῖς.

9 [III 12].

Πρατίνας Ἐπιγόνῳ.

Μεσημβρίας οὔσης σταθερᾶς φιλήνεμόν τινα ἐπιλεξάμενος πίτυν καὶ πρὸς τὰς αὔρας ἐκκειμένην, ὑπὸ ταύτῃ τὸ καῦμα ἐσκέπαζον. καί μοι ψυχάζοντι μάλ' ἡδέως ἐπῆλθέ τι καὶ μουσικῆς ἐπαφήσασθαι, καὶ λαβὼν τὴν

B x (*Harl. Ven.*) x[1] (*Γ Vat. 1*)

1 πολλοῖς] πολλοὺς *Ven.* | 3 ἄλλα τινα] τὰ ἄλλα τῶν *B*, Γενετυλλίδας ἃς οἶδ' ἀκούσας καὶ τὰ ἄλλα τῶν Jacobs. | 4 ἀπώλισθέ Hemst., ἀπολεῖσθαί *O* | 5 ὡς ἔοικεν] om. x x[1] | 6 ἁμιλλᾷ ἐν scripsi, ἅμιλλαι ἐν *Ven.*, ἁμιλλᾷς ἐν *Harl.*, ἁμιλλᾶσαι ἐν *B* x[1], del. ἐν Hemst., ἁμιλλᾷ γε Seil., ἐνάμιλλος εἶ Mein., ἅμ' ἐλᾷς ἐν Metr., ἀλινδῇ ἐν Herch. (ed.), ἁμιλλᾶσθαι ἐν Beaud. | ἀστικαῖς Ruhnk., ἀττικαῖς *O* | 7 ταυταισὶ ταῖς] ταυτησὶ ταῖς *Harl.*, ταυτησὶ τῆς *Ven.* | 9 καὶ παιδέρωτι] om. *B* | 11 ὑγιαίνῃς] ὑγιαίνοις *B* | ὁποίαν] ὅπου ἂν x (ἂρ *Ven.*), ὁποίαν ἄρα Mein., requirens in sqq. ἐκάθαιρε | ῥύμμα] ῥύμα x[1], ῥῆμα x

14 Μεσημβρίας—σταθερᾶς] om. x | 15 καὶ πρὸς—ἐκκειμένην] πρὸς—ἐκείμην x, del. Mein. (ed.), καὶ—ἐκκείμενος Beaud. | 16 ἐσκέπαζον Mein., ἐσκίαζον *O*, ἐσκέδαζον Metr., ἔσχαζον vel ἠλύσκαζον Herm. | 17 τι] τις *Ven.*, δέ τις Harl. | καὶ] om. Bergl. (ed.) | μουσικῆς Bergl., μουσικῶς O | ἐπαφήσασθαι

σύριγγα ἐπέτρεχον τῇ γλώττῃ, στενὸν τὸ πνεῦμα μετὰ
τῶν χειλέων ἐπισύρων, καί μου ἡδύ τι καὶ νόμιον
ἐξηκούετο μέλος. ἐν τούτῳ δέ, οὐκ οἶδ' ὅπως, ὑπὸ 2
τῆς ἡδυφωνίας θελγόμεναι πᾶσαί μοι πανταχόθεν αἱ
αἶγες περιεχύθησαν, καὶ ἀφεῖσαι νέμεσθαι τοὺς κομά-
ρους καὶ τὸ⟨ν⟩ ἀνθέρικον ὅλαι τοῦ μέλους ἐγίνοντο.
ἐγὼ δὲ ἐν μέσαις τὸν Ἠδωνὸν ἐμιμούμην τὸν παῖδα
τῆς Καλλιόπης. ταῦτά σοι οὖν εὐαγγελίζομαι, φίλον
ἄνδρα συνειδέναι βουλόμενος ὅτι μοι μουσικόν ἐστιν τὸ
αἰπόλιον.

10 [III 13].

Καλλικράτης Αἴγωνι.

Ἐγὼ μὲν ἥκοντος τοῦ καιροῦ γύρους περισκάψας
καὶ ἐμβαθύνας βόθρια οἷός τε ἤμην ἐλάδια ἐμφυ-
τεύειν καὶ ἐπάγειν αὐτοῖς ναματιαῖον ὕδωρ, ὅ μοι ἐκ
τῆς πλησίον φάραγγος ἐποχετεύεται. ἐπελθὼν δὲ ὄμβρος 2
ἐς τρεῖς ἡμέρας καὶ νύκτας ἴσας ποταμοὺς ἄνωθεν ἐκ
τῆς ἀκρωρείας τῶν ὀρῶν ἐγέννησεν, οἳ ῥύμῃ κατασυ-
ρόμενοι ἰλὺν ἐπεσπάσαντο καὶ τοὺς βόθρους κατέχωσαν,
ὥστε εἶναι πάντα ἰσόπεδα καὶ οὐδὲ δοκεῖν ὅλως εἰρ-
γασμένα. οὕτως ἠφάνισταί μοι τὰ πονήματα καὶ εἰς 3

B x (*Harl. Ven.*) x¹ (*Γ Vat. 1*)

ἐφάψασθαι vel *ἐπαφήσεσθαι* Bergl. | 1 *μετὰ*] *μεταξὺ* Mein. | 2 *χειλέων B*, *χειλῶν* cet. | *μου* Mein. (ed.), *μοι O* | 3 *τούτῳ δὲ*] *τῷδε Ven.*, *τούτῳ δὴ* Mein. | 5 *καὶ*] om. x | 6 ⟨*ν*⟩ add. Bergl. (ed.) | *ἐγίνοντο*] *ἐγένοντο* x (*ἔγενεν Ven.*) | 7 *τὸν Ἠδωνὸν B*, *ταῖς ἡδοναῖς* cet. | 8 *σοι* scripsi, *σε O* | 9 *τὸ B*, *ἔχειν τὸ* x *Vat. 1*, *ἔχειν Γ*, *ἐκεῖνο τὸ* Mein.

11 *Καλλικράτης*] *Καλλίκρατος B* | 13 *βόθρια*] *βόθρον Harl.* x¹ | *τε*] del. Cob. | *ἤμην*] *ἦν* Cob. | 14 *ναματιαῖον* Bergl. *ναματίδιον B*, *ναμάτιον* cet. | 16 *ἴσας*] *τὰς ἴσας* Herch. (ed.) | 17 *οἳ*] *ἡ Ven.*, *ἣ Harl.* | 20 *μοι*] om. *Ven.* x¹

μίαν ὄψιν ἄτοπον κατέστη. τίς ἂν οὐκ ἔτι πονοίη μάτην, ἀδήλους ἐλπίδας ἐκ γεωργίας καραδοκῶν; μετιτέον μοι ἐφ' ἕτερον βίον. φασὶ γὰρ ἅμα ταῖς τῶν ἐπιτηδευμάτων ἀλλαγαῖς καὶ τὰς τύχας μετασχηματίζεσθαι.

11 [III 14].

Σιτάλκης Οἰνοπίωνι.

Εἰ πατρῴζεις, ὦ παῖ, καὶ τἀμὰ φρονεῖς, χαίρειν τοὺς ἀλαζόνας ἐκείνους τοὺς ἀνυποδήτους καὶ ὠχριῶντας, οἳ περὶ τὴν Ἀκαδήμ⟨ε⟩ιαν ἀλινδοῦνται, καὶ βιωφελὲς μὲν οὐδὲν οὔτε εἰδότας οὔτε πράττειν δυναμένους, τὰ μετέωρα δὲ πολυπραγμονεῖν ἐπιτηδεύοντας, ἐάσας ἔχου τῶν κατ' ἀγρὸν ἔργων, ἀφ' ὧν σοι διαπονοῦντι μεστὴ μὲν ἡ σιπύη πανσπερμίας, οἱ δὲ ἀμφορεῖς οἴνου γέμοντες, πλέα δὲ ἀγαθῶν τὰ σύμπαντα.

12 [III 15].

Κότινος Τρυγοδώρῳ.

Ὁ τρύγητος ἐγγὺς καὶ ἀρρίχων ἔστι μοι χρεία. δάνεισον οὖν μοι τούτων τοὺς περιττούς, ὅσον οὐκ

B x (*Harl. Ven.*) x[1] (*Γ Vat. 1*)

1 *ἂν*] om. x x[1] | distinxi cum Cob., *πονοίη, μάτην* vulgo | 2 *ἐκ γεωργίας*] del. Nauck., verba *μάτην—καραδοκῶν* poetae cuidam tribuens | 3 *μοι*] om. x | 4 *ἀλλαγαῖς*] *ἀλλαγεῖν* x | *καὶ*] om. x | *μετασχηματίζεσθαι*] om. *μετα B*

7 *πατρῴζεις*] *πατράζεις Vat. 1* | *χαίρειν*] del. Herch. (ed.) | 8 *ἀνυποδήτους*] *ἀνυποδέτους B* | 9 ⟨ε⟩ add. Mein. | *βιωφελὲς*] *βιωφελὴν Ven.* | 10 *εἰδότας* x[1], *εἰδότες* cet. | *δυναμένους* x[1], *δυνάμενοι* cet. (in *B* est *οὔτε πράττειν δυνάμενοι οὔτε εἰδότες*) | 11 *πολυπραγμονεῖν B*, *πολυπραγμονοῦντας καὶ* cet. (*πολυπραγμονοῦντες καὶ ἐπιτηδεύοντες Harl.*) | *ἐάσας*] om. *B*, ante *χαίρειν* coll. Meis. | 12 *ἀγρὸν*] *ἀγροὺς* x | 13 post *μὲν* add. *ἔσται* Hirsch | 14 *πλέα* Seil. (ed.), *πλεῖα O*. Cf. I 15, 4

15 *Τρυγοδώρῳ*] *Τρυγόδωνι B*, *Τρυγοδώρῃ Ven.* | 16 *τρύγητος scripsi*, *τρυγητὸς O* | 17 *μοι*] om. *Ven.*

εἰς μακρὰν ἀποδώσοντι. ἔχω δ' ἐγὼ πιθάκ⟨ν⟩ια πλείονα. εἰ οὖν δέοιο, προθύμως λάμβανε. τὸ γὰρ κοινὰ τὰ τῶν φίλων οὐχ ἥκιστα τοῖς ἀγροῖς ἐμφιλοχωρεῖν ὀφείλει.

13 [III 16].

Φυλλὶς Θρασωνίδῃ.

Εἰ γεωργεῖν ἐβούλου καὶ νοῦν ἔχειν, ὦ Θρασωνίδη,
καὶ τῷ πατρὶ πείθεσθαι, ἔφερες ἂν [καὶ] τοῖς θεοῖς
κιττὸν καὶ δάφνας καὶ μυρρίνας καὶ ἄνθη ὅσα σύγκαιρα,
καὶ ἡμῖν τοῖς γονεῦσι πυροὺς ἐκθερίσας καὶ οἶνον ἐκ
βοτρύων ἀποθλίψας καί, βδάλας τὰ αἰγίδια, τὸν γαυ-
λὸν πλήρη γάλακτος· νῦν δὲ ἀγρὸν ⟨μὲν⟩ καὶ γεωρ- 2
γίαν ἀπαναίνῃ, κράνους δὲ ἐπαινεῖς τριλοφίαν καὶ
ἀσπίδος ἐρᾷς, ὥσπερ τις Ἀκαρνὰν ἢ Μαλιεὺς μισθο-
φόρος. μή σύγε, ὦ παιδίον, ἀλλ' ἐπάνιθι ὡς ἡμᾶς 3
καὶ τὸν ἐν ἡσυχίᾳ βίον ἀσπάζου — καὶ γὰρ ἀσφαλὴς
καὶ ἀκίνδυνος ἡ γεωργία, οὐ λόχους, οὐκ ἐνέδρας, οὐ
φάλαγγας ἔχουσα — ἡμῖν τε [ὁ] γηροκόμος γενοῦ,

B x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

1 μακρὰν x *Γ*, μακρὸν cet. | δ' Pol., οὖν *O* | ἐγὼ x, κἀγὼ cet., ἀποδώσοντι ...... ἔχω οὖν ἐγὼ Mein. (ed.) supplens ⟨καί τι καὶ ἀντιδώσοντι.⟩ | ⟨ν⟩ add. Bergl. | 2 δέοιο] δέοι *B*, δὲ εἰς *Ven.*, unde δεήσει vel δεήσῃ Mein. | τὸ Bergl., τὰ *O* | 3 ὀφείλει] ἐθέλει x¹
4 Φυλλὶς] Φυλλῆς *Γ* | 5 γεωργεῖν] γεωργεῖς *Ven.* | 6 [καὶ] del. Herch. (ed.), καὶ ⟨αὐτὸς⟩ Cob. | 7 μυρρίνας *Γ*, μυρίνας cet., μυρίνην Bergl. (ed.) | 8 καὶ (ante ἡμῖν)] om. *B* | 9 βδάλας τὰ αἰγίδια] om. *B*, ubi πληρώσας pro πλήρη. Inde καὶ ἡμῖν ⟨τι⟩ πληρώσας Seil., καὶ ἡμῖν—ἐξεθέρισας— ἀπέθλιψας— ἐπλήρωσας Herch. (ed.), ante πυροὺς add. πόρους Pol. | γαυλὸν] γαλὸν *B*, om. *Ven.* | 10—11 ἀγρὸν—ἀπαναίνῃ et sq. δὲ] om. *B*, hab. ἀγροὺς x, ἀπαναίνει *Ven. Vat. 1*, ⟨μὲν⟩ add. Cob. | 12 Ἀκαρνὰν] Ἀκαρνᾶν *B* | Μαλιεὺς] Μηλιεὺς x¹ | 13 ἐπάνιθι] ἐπάνι *Ven.* | 16 [ὁ] del. Herch. (ed.) | γηροκόμος Bergl. (ed.), γηρωκόμος *O* | γενοῦ Reisk., ἐγγύς O

ἀντὶ τῆς ἐν ἀμφιβόλῳ ζωῆς τὴν ὁμολογουμένην ἑλόμενος σωτηρίαν.

14 [III 17].

Χαιρέστρατος Λειρίῳ.

*Ἐπιτριβείης, ὦ Λείριον, κακὴ κακῶς, ὅτι με τῇ μέθῃ
καὶ τοῖς αὐλοῖς κατακηλήσασα βραδὺν ἀπέφηνας τοῖς
ἐκ τῶν ἀγρῶν ἀποπέμψασιν. οἱ μὲν γὰρ ἕωθεν προσ-
εδόκων με φέροντα αὐτοῖς τὰ κεράμεια σκεύη, ὧν*
2 *ἕνεκεν ἀφικόμην· ἐγὼ δὲ ὁ χρυσοῦς πάννυχος καταυ-
λούμενος εἰς ἡμέραν ἐκάθευδον. ἀλλ' ἄπιθι, ὦ τάλαινα,
καὶ τοὺς ἀθλίους τουτουσὶ θέλγε τοῖς γοητεύμασιν.
ἐμοὶ γὰρ εἰ ἔτι ἐνοχλοίης, κακόν τι παμμέγεθες προσ-
λαβοῦσα ἀπελεύσῃ.*

15 [III 18].

Εὔσταχυς Πιθακ⟨ν⟩ίωνι.

Τοὐμοῦ παιδίου γενέσια ἑορτάζων ἥκειν σε ἐπὶ τὴν πανδαισίαν, ὦ Πιθακ⟨ν⟩ίων, παρακαλῶ, ἥκειν δὲ οὐ μόνον ἀλλ' ἐπαγόμενον τὴν γυναῖκα καὶ τὰ παιδία καὶ

B x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

3 *Λειρίῳ* Reisk., *Ληρίωνι B Harl.*, *Ληρίῳ* cet., *Λειριόνῃ* Thes. Steph. s. v. *λήριον*, *Δηρινόῃ* Herch. (ed.). Vid. II 39 inscr. | 4 *Λείριον* Reisk., *Ληρίων B Harl.*, *Λήριον* cet. Vid. inscr. | 5 *κατακηλήσασα* x¹, *κατακοιμήσασα* cet., *κατακοιμίσασα* Cob., sed cf. § 2 | 6 *ἀποπέμψασιν*] *ἀποπέμψεως Vat. 1* | *οἱ μὲν γὰρ*] om. x | 7 *με*] ante *προσεδόκων* hab. *B* | *κεράμεια*] *κεραμεᾶ* Herch. (ed.) | *σκεύη*] del. Bergl. | 8 *δὲ*] *γὰρ B* | 10 *ἀθλίους*] *ἀστικοὺς* Bergl., at cf. III 8, 1 | 11 *εἰ ἔτι Γ*, *ἤν τι B*, *ἢν ἔτι* cet. | 12 *ἀπελεύσῃ*] *ἀπελάσῃ* x, *ἄπει* Cob.
13 ⟨*ν*⟩ add. Bergl. | 14 *παιδίου*] *παιδὸς Vat. 1* | *ἑορτάζων*] *ἑώρταζον B*, *ἑορτάσων* Mein. | 15 *ὦ*] *ὡς* x | ⟨*ν*⟩ add. *Bergl.* | *16 τὰ παιδία*] *τὸν παῖδα* x

τὸν σύργαστρον· εἰ βούλοιο δέ, καὶ τὴν κύνα, ἀγαθὴν
οὖσαν φύλακα καὶ τῷ βάρει τῆς ὑλακῆς ἀποσοβοῦσαν
τοὺς ἐπιβουλεύοντας τοῖς ποιμνίοις. ἡ δὲ τοιαύτη οὐκ 2
ἂν ἀτιμάζοιτο δαιτυμὼν εἶναι σὺν ἡμῖν. ἑορτάσομεν
δὲ μάλ' ἡδέως, καὶ πιόμεθα εἰς μέθην καὶ μετὰ τὸν
κόρον ᾀσόμεθα, καὶ ὅστις ἐπιτήδειος κορδακίζειν, εἰς
μέσους παρελθὼν τὸ κοινὸν ψυχαγωγήσει. μὴ μέλλε
οὖν, ὦ φίλτατε· καλὸν γὰρ ἐν ταῖς κατ' εὐχὴν ἑορταῖς ἐξ ἑωθινοῦ συντάττειν τὰ συμπόσια.

16 [III 19].

Πιθακ⟨ν⟩ίων Εὐστάχυϊ.

Κοινωνικὸς ὢν καὶ φιλέταιρος ὄναιο σαυτοῦ καὶ
τῆς γυναικὸς καὶ τῶν παιδίων, ὦ Εὔσταχυ. ἐγὼ δὲ
τὸν κλῶπα φωράσας, ἐφ' ᾧ πάλαι ἤσχαλλον τὴν ἐχέτλην
ὑφελομένῳ καὶ δύο δρεπάνας, ἔχω παρ' ἐμαυτῷ τοὺς
κωμήτας ἀναμένων ἐπικούρους. νῦν γὰρ οὐκ ἐδοκί- 2
μαζον ἀσθενέστερος ὢν καὶ μόνος τὼ χεῖρε ἐπιβάλλειν
αὐτῷ. ὁ μὲν γὰρ δριμὺ βλέπει καὶ τοξοποιεῖ τὰς ὀφρῦς
καὶ σφριγῶντας ἔχει τοὺς ὤμους καὶ ἁδρὰν τὴν ἐπι-
γουνίδα φαίνει· ἐγὼ δὲ ὑπὸ τῶν πόνων καὶ τῆς δι- 3
κέλλης κατέσκληκα, καὶ τύλους μὲν ἐν ταῖς χερσὶν

B x (*Harl. Ven.*) x^1 (*Γ Vat. 1*)

1 τὸν] τὸ x | σύργαστρον Reisk., συνέργαστρον *O*, συνεργάτην Seil. (ed.) | 2 τῷ] τὸ *Ven.* | 3 δὲ τοιαύτη] τοιαύτη δὲ *B* | 4 ἀτιμάζοιτο] ἀτιμάζοι τὸ *Γ*, ἀτιμάζοιτο ⟨τὸ μὴ⟩ Reisk. | 5 δὲ μάλ' *Γ*, δὲ μάλλ' *Vat. 1*, μᾶλλον *B*, ἀλλ' ἀμμ' ἀλλ' (sic) x, δ' ἅμα μάλ' Mein. | 7 τὸ κοινὸν] om. *B* | 8 ἐν ταῖς] om. x | κατ' εὐχὴν Bergl. (ed.), om. x, κατ' εὐχὰς cet.

10 ⟨ν⟩ add. Bergl. | Εὐστάχυϊ] Εὐσταχίῳ x | 12 παιδίων] παίδων x^1 | 14 ἐμαυτῷ] ἐμαυτὸν *B* | 16 καὶ] om. x^1 | 17 αὐτῷ] om. x^1

ἔχω, λεπτότερον δέ μοι τὸ δέρμα λεβηρίδος. ἡ μὲν οὖν γυνὴ καὶ τὰ παιδία εἰς σοῦ βαδιοῦνται καὶ τῆς εὐωχίας μεθέξουσιν, ὁ δὲ σύργαστρος μαλακῶς ἔχει τὰ νῦν. ἐγὼ δὲ καὶ ἡ κύων τὸν μιαρὸν οἴκοι φυλάξομεν.

17 [III 20].

Ναπαῖος Κρηνιάδῃ.

Οἶσθά με ἐπισάξαντα τὴν ὄνον σῦκα καὶ παλάθας ⟨ἄστυδε⟩ καταγαγόντα; ὡς οὖν ταῦτα ἀπεδόμην τῶν τινι γνωρίμων, ἄγει μέ τις λαβὼν εἰς τὸ θέατρον, οὗ καθίσας ἐν καλῷ διαφόροις ἐψυχαγωγούμην θεωρίαις.
2 τὰς μὲν οὖν ἄλλας οὐ συνέχω τῇ μνήμῃ, εἰμὶ γὰρ τὰ τοιαῦτα καὶ εἰδέναι καὶ ἀπαγγέλλειν κακός· ἓν δὲ ἰδὼν ἀχανὴς ἐγώ σοι καὶ μικροῦ δεῖν ἄναυδος. εἷς γάρ τις εἰς μέσους παρελθὼν καὶ στήσας τρίποδα τρεῖς μικρὰς ἐπετίθει παροψίδας· εἶτα ὑπὸ ταύταις ἔσκεπε τρία μικρὰ καὶ λευκὰ καὶ στρογγύλα λιθίδια, οἷα

B x (*Harl. Ven.*) x^1 (*Γ Vat. 1*)

1 λεπτότερον] κενώτερον Bergl., sed ita expectes κενώτερος δ' εἰμὶ λεβηρίδος | 2 εἰς σοῦ Gloss. Eichst., εἴσω *O*; εἰς σὲ Bergl. | 3 σύργαστρος] σύγγαστρος x^1 | μαλακῶς] μάλα κακῶς Metr. | 4 οἴκοι] τὸν κει *Ven.*, unde ἐκεῖνον Mein.

5 Κρηνιάδῃ] Κρινιάδῃ x | 6 σῦκα καὶ] om. x x^1 | παλάθας *B*, πάλαθα cet., παλάθια Mein. | 7 ⟨ἄστυδε⟩ καταγαγόντα; ὡς οὖν — οὗ — ἐψυχαγωγούμην scripsi, καταγαγόντα; ἕως οὖν — καὶ — ἐψυχαγωγούμην *B*, καταγαγόντα οὖν ἕως οὗ — καὶ — ἐψυχαγώγει cet. (*Harl.* hab. ἕως οὖν et *Ven.* om. οὖν), ... καταγαγόντα οὖν, ὡς — καὶ — ἐψυχαγώγει Mein. supplens ⟨ἄστυδε ἐληλακέναι⟩, mavult κἀκεῖ pro οὗ Pol. | 7—8 interpunxi ante ἄγει, vulgo ante τῶν, unde τῶν τις — μέ Hemst., τῶν μοι — μέ τις Meis., τῶν τῇδε — μέ τις Pol. | 8 λαβὼν] om. x x^1 | 9 ἐν καλῷ] cf. III 28, 2 | 11 δὲ] om. *B* | ἰδὼν] εἰδὼς x^1 | 12 καὶ] om. x | 13 τις] om. x *Vat. 1* | 14 ἐπετίθει *B*, παρετίθει cet. | 15 τρία — λευκὰ scripsi, μικρά τινα καὶ λευκὰ x^1, λευκά τινα καὶ μικρὰ cet., unde τρία λευκὰ [καὶ μικρὰ] Hirsch., λευκὰ τρία καὶ μικρὰ Pol.

ἡμεῖς ἐπὶ ταῖς ὄχθαις τῶν χειμάρρων ἀνευρίσκομεν· ταῦτά ποτε μὲν ⟨ἓν⟩ κατὰ μίαν ἔσκεπε παροψίδα, ποτὲ 3
δὲ οὐκ οἶδ᾽ ὅπως ὑπὸ τῇ μιᾷ ἐδείκνυ, ποτὲ δὲ παντελῶς ἀπὸ τῶν παροψίδων ἠφάνιζε καὶ ἐπὶ τοῦ στόματος ἔφαινεν. εἶτα καταβροχθίσας τοὺς πλησίον ἑστῶ- 4
τας ἔφαινεν εἰς μέσον τὴν μὲν ἐκ ῥινός τινος τὴν δὲ ἐξ ὠτίου τὴν δὲ ἐκ κεφαλῆς ἀνῃρεῖτο, καὶ πάλιν ἀνελόμενος ἐξ ὀφθαλμῶν ἐποίει. κλεπτίστατος ἄνθρωπος ὑπὲρ ὃν ἀκούομεν Εὐρυβάτην τὸν Οἰχαλιέα. μὴ γένοιτο κατ᾽ ἀγρὸν τοιοῦτον θηρίον· οὐ γὰρ ἁλώσεται ὑπ᾽ οὐδενός, καὶ πάντα ὑφαιρούμενος τἄνδον φροῦδά μοι [τὰ κατ᾽ ἀγρὸν] ἀπεργάσεται.

18 [III 21].

Εὐνάπη Γλαύκῃ.

Ὁ μὲν ἀνὴρ ἀπόδημός ἐστί μοι τρίτην ταύτην ἡμέραν ἔχων ἐν ἄστει, ὁ δὲ θητεύων παρ᾽ ἡμῖν Παρμένων ζημία καθαρά, ῥᾴθυμος ἄνθρωπος καὶ τὰ πολλὰ καταπίπτων εἰς ὕπνον. ὁ δὲ λύκος ἀργαλέος πάροικος 2
βλέπων φονῶδές τι καὶ αἱμοβόρον· Χιόνην γὰρ τὴν

B x (*Harl. Ven.*) x¹ (*Γ Vat. 1*)

1 ἀνευρίσκομεν] del. ἂν Herch. (ed.), ἂν εὑρίσκοιμεν Beaud. | 2 ⟨ἓν⟩ add. Beaud., ταύτας—παροψίδι Mein., ταῦτα—⟨ταῖς⟩ παροψίσι Herch. (ed.) | 3 οὐκ—ποτὲ δὲ] om. *Ven.*, post ὅπως add. πάσας Mein., πάνθ᾽ Herch. | τῇ] del. Herch. (ed.) | 5 ἔφαινεν] ἔφερεν *Vat. 1* | 6 μέσον] μέσους *B* | τὴν—τὴν—τὴν] τὸ—τὸ—τὸ Hirsch., add. τῶν ψήφων post μέσον Meis., sed fort. nil mutandum | τινος] om. *Ven.*, ⟨τινῶν⟩ τινὸς Mein. | 7 ὠτίου] ὠτίων *Vat. 1*, ὠτὸς *Γ* | κεφαλῆς] κορυφῆς Herch. (ed.) | πάλιν ἀνελόμενος] ἀνελόμενος, πάλιν Herch. (ed.) | 12 [τὰ κατ᾽ ἀγρὸν] del. Herch., τὰ κατὰ τὸν ἀγρὸν x¹, τὰ κατ᾽ οἶκον Pol.

15 ἔχων] del. Herch. (ed.), ἄγων Meis. | Παρμένων Bergl., καὶ παραμένων *B*, παραμένων cet. | 18 ante βλέπων add. καὶ *B* | τι] τε Herch., at cf. IV 19, 2 | αἱμοβόρον] ὠμοβόρον *B*

καλλιστεύουσαν τῶν αἰγῶν ἐκ τοῦ φελλέως ἁρπάσας οἴχεται· καὶ ὁ μὲν δειπνεῖ ἀγαθὴν αἶγα καὶ εὐγάλακτον,
3 *ἐγὼ δὲ δάκρυα τῶν ὀφθαλμῶν ἀπολείβω. πέπυσται δὲ τούτων οὐδὲν ὁ ἀνήρ· εἰ δὲ μάθοι, κρεμήσεται μὲν ἐκ τῆς πλησίον πίτυος ὁ μισθωτός, αὐτὸς δὲ οὐ πρότερον ἀνήσει πάντα μηχανώμενος, πρὶν τὰς παρὰ τοῦ λύκου δίκας εἰσπράξασθαι.*

19 [III 22].

Πολύαλσος Εὐσταφύλῳ.

Πάγην ἔστησα ἐπὶ τὰς μιαρὰς ἀλώπεκας κρεάδιον τῆς σκανδάλης ἀπαρτήσας. ἐπεὶ γὰρ ἐπολέμουν τὰς σταφυλάς, καὶ οὐ μόνον τὰς ῥᾶγας ἔκοπτον ἀλλ' ἤδη καὶ ὁλοκλήρους ἀπέτεμνον τῶν οἰνάρων τοὺς βότρυς,
2 *ὁ δεσπότης δὲ ἐπιστήσεσθαι κατηγγέλλετο — ἀργαλέος ἄνθρωπος καὶ δριμύς, γνωμίδια καὶ προβουλευμάτια συνεχῶς ἐπὶ τῆς Πυκὸς Ἀθηναίοις εἰσηγούμενος, καὶ πολλοὺς ἤδη διὰ σκαιότητα τρόπου καὶ*

B x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

1 *καλλιστεύουσαν B*, *καλλίστην* cet. | 1—2 *ἁρπάσας — αἶγα καὶ*] om. *Ven.* | 3 *ἀπολείβω*] *ἀποθλίβω B* | 4 *τούτων*] *καὶ τούτων Harl.* | *μάθοι*] *μάθοι* (η supra οι) *Harl.*, *μάθῃ Γ* | 5 *δὲ*] om. x x¹ | 6 *ἀνήσει πάντα μηχανώμενος B*, *ὄνησιν μηχανώμενος* cet. | *παρὰ*] *περὶ Ven.*
8 *Πολύαλσος*] *Πολύαλγος* Seil. | 9 *μιαρὰς*] *μικρὰς* x *Γ*, *τὴν μιαρὰν ἀλώπεκα* et *ἐπολέμει — ἔκαπτεν* (vid. infra) — *ἀπέτεμνε* cl. § 2 Herch. | 10 *τῆς σκανδάλης B*, *τῆς σκανδάλας* cet., *τῆς σκανδαλήθρας* Hemst., *τοῦ σκανδάλου* Herch. (ed.) | *ἀπαρτήσας B*, *ἐφάψας* x, *ἀφάψας* cet. | 11 *τὰς σταφυλάς*] *ταῖς σταφυλαῖς* Reisk. | *ῥᾶγας* Seil. (ed.), *ῥάγας O* | *ἔκοπτον*] *ἔκαπτον* Cob., sed cf. *ἐπολέμουν* et *ἀπέτεμνον* | 12 *ἀπέτεμνον*] *ἀπέτεμον* x | 14 post *δριμὺς* add. *καὶ* Herch. (ed.) | *γνωμίδια*] *γνωμίδας Vat. 1* | *προβουλευμάτια*] del. *προ* Herw. | 15 *ἐπὶ τῆς Πυκὸς*] om. x, *ἐπὶ τῆς Πυκνὸς* Cob. | *Ἀθηναίοις B*, *πρὸς Ἀθηναίους* cet. | 16 *καὶ* (ante *πολλοὺς*)] om. *B* x. Fort. igitur *δριμὺς* ⟨*ὅς*⟩, — *εἰσηγούμενος*, *πολλοὺς* — *ἤγαγεν*

*δεινότητα ῥημάτων ἐπὶ τοὺς ἕνδεκα ἀγαγών — δείσας
μή τι πάθοιμι κἀγὼ καὶ ταῦτα τοιούτου ⟨τοῦ⟩ δεσπό-
του ὄντος, τὴν κλέπτιν ἀλώπεκα συλλαβὼν ἐβουλόμην
παραδοῦναι. ἀλλ' ἡ μὲν οὐχ ἧκε· Πλαγγὼν δὲ τὸ* 3
*Μελιταῖον κυνίδιον, ὃ ⟨ἐ⟩τρέφομεν ἄθυρμα τῇ δε-
σποίνῃ προσηνές, ὑπὸ τῆς ἄγαν λιχνείας ἐπὶ τὸ κρέας
ὁρμῆσαν κεῖταί σοι τρίτην ταύτην ἡμέραν ἐκτάδην
νεκρὸν ἤδη μυδῆσαν. ἔλαθον οὖν ἐπὶ κακῷ κακὸν
ἀναρριπίσας. καὶ τίς παρὰ τῷ σκυθρωπῷ τῶν τοιού-
των συγγνώμη; φευξόμεθα ᾗ ποδῶν ἔχομεν, χαιρέτω* 4
*δὲ ὁ ἀγρὸς καὶ τἀμὰ πάντα. ὥρα γὰρ σώζειν ἑαυτόν,
καὶ μὴ ⟨τὸ⟩ παθεῖν ἀναμένειν ἀλλὰ πρὸ τοῦ παθεῖν
φυλάξασθαι.*

20 [III 23].

Θαλλὸς Πιτυΐσκῳ.

*Πάντα φιλῶ τρυγᾶν — ἔστι γὰρ τὸ καρπῶν ἀπο-
δρέπεσθαι πόνων ἀμοιβὴ δίκαιος — ἐξαιρέτως δὲ ἐθέλω
βλίττειν τὰ σμήνη. ἔχων οὖν, σίμβλους ὑπὸ τῇ πέτρᾳ* 2

B x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

1 *ἀγαγών*] *ἀπαγαγών* Cob. | 2 *καὶ*] *διὰ* Herw. | ⟨*τοῦ*⟩ add. Seil. | 3 *κλέπτιν*] *κλέπτην Vat. 1, κλεπτιστάτην* Bergl., sed cfrt Arcad. 35, 6 Pol. | 4 ante *παραδοῦναι* suppl. *αὐτῷ* vel *θανάτῳ* Herw. | *Πλαγγὼν Γ, Πλαγγῶν B, Πλάγγων* cet., *Κλαγγὼν* Seil. | 5 ⟨*ἐ*⟩ add. Herw. | 6 *προσηνές*] del. Metr. credens adscr. fuisse *προσσαῖνον* | *λιχνείας*] *λιχνίας B* | 8 *νεκρὸν*] del. Cob. | *μυδῆσαν*] *μυδῶν* Herw. | 9 *παρὰ τῷ*] *περὶ τῷ* x, *παρ' ἀνθρώπων B, παρ' ἀνθρώπῳ* Wagn. (ed.) | 11 *ἑαυτὸν Harl., αὐτὸν B Ven., ἐμαυτὸν* x¹ | 12 ⟨*τὸ*⟩ add. Cob.

14 *Θαλλὸς*] *Θάλλος Harl. Vat. 1* | *Πιτυΐσκῳ* scripsi, *Πιτυΐστῳ B, Τιτυΐστῳ* cet., *Τιτυρίσκῳ* vel *Τιτυΐσκῳ* Mein. | 15 *πάντα - ἐθέλω*] *πάντα* ⟨*μὲν*⟩—[*ἐθέλω*] Herch., ⟨*περὶ*⟩ *πάντα φιλῶ* ⟨*τὸ*⟩—*ἔχω πρὸς τὸ* Nab. | *καρπῶν B, κακὸν* x, *κακῶν* cet., unde [*τὸ*] *κακῶν—ἀμοιβὴν δίκαιον* Bergl. | 17 *ἔχων B, ἔχω* cet., *ἐγὼ* Herm. | *σίμβλους*] σίμβλα Γ

ἀποκλάσας, κηρία νεογενῆ, πρῶτον μὲν τοῖς θεοῖς
ἀπηρξάμην, ἔπειτα δὲ τοῖς φίλοις ὑμῖν ἀπάρχομαι.
3 ἔστι δὲ λευκὰ ἰδεῖν καὶ ἀποστάζοντα λιβάδας Ἀττικοῦ
μέλιτος, οἷον αἱ Βριλήσσιαι λαγόνες ἐξανθοῦσι. καὶ
νῦν μὲν ταῦτα πέμπομεν, [καὶ] εἰς νέωτα δὲ δέχοιο
παρ' ἡμῶν μείζω τουτωνὶ καὶ ἡδίονα.

21 [III 24].

Φιλοποίμην Μοσχίωνι.

Λύκον ἔοικα τρέφειν τὸ μιαρὸν ἀνδράποδον· ἐμπε-
σὼν γὰρ εἰς τὰς αἶγας οὐκ ἔστιν ἥντινα οὐκ ἀπολώλεκε,
2 τὰς μὲν ἀποδόμενος τὰς δὲ καταθύων. καὶ τῷ μὲν ἡ
γαστὴρ τῆς κραιπάλης ἐμπίπλαται, καὶ τὰ λοιπὰ τῇ
τενθείᾳ δαπανᾶται καὶ ψάλλεται καὶ καταυλεῖται καὶ
[πρὸς] τοῖς μυροπωλίοις φιληδεῖ, τὰ δὲ αὔλια ἔρημα,
3 αἶγες δὲ ἐκεῖναι [αἱ πρότερον] οἴχονται. τέως μὲν
οὖν ἡσυχίαν ἄγω, μὴ προαισθόμενος ψύττα κατατείνας
φύγῃ· εἰ δὲ ἀνυπόπτως λαβοίμην αὐτοῦ καὶ ἐγκρατὴς

B x *(Harl. Ven.)* x[1] *(Γ Vat. 1)*

1 ἀποκλάσας *B*, ἀποκλάδας x, ὑποκλάσας cet. | 2 δὲ] om. *B* | 3 λιβάδας] λιβάδα x | 4 οἷον] οἶνον *B* | 5 [καὶ] del. Mein. | δέχοιο] προσδέχου Cob., ἐκδέχου vel δέχοιο ⟨ἂν⟩ Herch. | 6 μείζω] μείζων *Ven.*, μείζονα Mein. (ed.) | τουτωνὶ Mein. (ed.), τούτων ἢ *B* x, τούτων x[1] | καὶ] κἄτι Nab.

7 Φιλοποίμην] Φιλοπόμων x, Φιλοπάμων Mein. | 8 ἔοικα *B*, ἔοικας cet. | ἐμπεσὼν x, ἐμπεσὸν ὢν (sic) *B*, ἐμπεσὸν x[1] | 9 γὰρ] om. x[1] | ἥντινα] ὃ x | 10 μὲν] μέν τι x | 12 τενθείᾳ *Γ* ταθείᾳ *Vat. 1*, τωθείᾳ x, πενθία *B* | ψάλλεται *B*, πάλλεται cet., καταψάλλεται Reisk., at cf. III 29, 2 | 13 [πρὸς] del. Herch. (ed.), πρὸς τούτοις ψάλλεται κ. τ. λ. Pol. | μυροπωλίοις x, μυροπωλείοις *B Γ*, μυροπώλοις *Vat. 1* | 14 [αἱ πρότερον] delevi | 15 ψύττα κατατείνας Bergl., ψύττα κατά τινος *B*, ψύττας παρά τινος x[1] (ψῦττας *Γ*), ψύττας (sic) περί τινος x | 16 φύγῃ] φεύγῃ *B*

γενοίμην, δεθήσεται τὼ πόδε χοίνικας παχείας ἐπισύρων, καὶ τῇ σκαπάνῃ προσανέχων ὑπὸ τῇ δικέλλῃ καὶ τῇ σμινύῃ τῆς μὲν τρυφῆς ἐπιλήσεται, παθὼν δὲ γνώσεται οἷόν ἐστι τὸ τὴν ἄγροικον σωφροσύνην ἀσπάζεσθαι.

22 [III 25].

Ὕλη Νομίῳ.

Θαμίζεις εἰς ἄστυ [κατιών], ὦ Νομίε, καὶ τὸν ἀγρὸν
οὐδ' ἀκαρῆ θέλεις ὁρᾶν· ἀργὸς δὲ ἡ γῆ χηρεύουσα τῶν
ἐκπονούντων, ἐγὼ δὲ οἰκουρῶ μόνη μετὰ τῆς Σύρας
ἀγαπητῶς τὰ παιδία βουκολοῦσα. σὺ δὲ ἡμῖν αὐτό- 2
χρημα μεσαιπόλιος ἄνθρωπος μειράκιον ἀστικὸν ἀνεφάνης. ἀκούω γάρ σε τὰ πολλὰ ἐπὶ Σκίρου καὶ Κεραμεικοῦ διατρίβειν, οὗ φασι τοὺς ἐξωλεστάτους σχολῇ καὶ ῥαστώνῃ τὸν βίον καταναλίσκειν.

23 [III 26].

Ληναῖος Κορύδωνι.

Ἄρτι μοι τὴν ἅλω διακαθήραντι καὶ τὸ πτύον ἀποτιθεμένῳ ὁ δεσπότης ἐπέστη καὶ ἰδὼν ἐπῄνει τὴν

B x *(Harl. Ven.)* x[1] *(Γ Vat. 1)*

1 δεδήσεται] δεθήσεται *Γ* | πόδε *B*, χεῖρε cet. | ἐπισύρων] ἐπιφέρων *B* | 3 παθὼν] μαθὼν Reisk. | γνώσεται οἷόν ἐστι x, γνώσεται οἷον ἦν *B*, οἷόν ἐστι γνώσεται x[1] | 4 τὸ] del. Maehl. | ἀσπάζεσθαι] ἀσπάσασθαι *B*, ἀτιμάζεσθαι Maehl.
5 Ὕλη] Ὕλης *Γ* | 6 θαμίζεις] θαυμάζεις x | [κατιών] delevi cl. I 4, 2, III 2, 1 | Νομίε Cob., Νόμιε *O* | 7 ἀκαρῆ] ἀκαρεῖ *B*, ἀκαρὲς Mein. (ed.) | ἀργὸς *B*, ἀργεῖ cet. | 8 ἐκπονούντων Herch. (ed.), ἐμπονούντων *O* | Σύρας Bergl., Σισύρας *O*, quod ex sq. ep. venit | 9 βουκολοῦσα] βαυκαλῶσα Hemst. | 10 μεσαιπόλιος] μεσοπόλιος *B* | ἀστικὸν Ruhnk., ἀττικὸν *O* | 11 Σκίρου καὶ Κεραμεικοῦ] Σκιεροῦ Κεραμεικοῦ *B*
15 διακαθήραντι] διακαθαίροντι x | 16 ἀποτιθεμένῳ] ἀποθεμένῳ Cob. | ἐπῄνει *B*, ἐφίλει cet.

φιλεργίαν. ἐφάνη δέ μοί ποθὲν ὁ Κωρυκαῖος δαίμων, Στρόμβιχος ὁ παμπόνηρος. ἰδὼν γάρ με ἐφεπόμενον τῷ δεσπότῃ, κειμένην τὴν σισύραν ἣν ἀποθέμενος εἰργαζόμην ὑπὸ μάλης ᾤχετο φέρων, ὡς ὁμοῦ ζημία⟨ν⟩ καὶ τὸν ἀπὸ τῶν ὁμοδούλων προσοφλῆσαι γέλωτα.

24 [III 27].

Γέμελλος Σαλακωνίδι.

Τί ταῦτα, ὦ Σαλακωνίς, ὑπερηφανεῖς τάλαινα; οὐκ ἐγώ σε εἰς τοὐργαστήριον καθημένην παρὰ τὸν ἀκεστὴν τὸν ἑτερόποδα ἀνειλόμην, καὶ ταῦτα λάθρᾳ τῆς μητρός, καὶ καθάπερ τινὰ ἐπίκληρον ἐγγυητὴν ἀγαγόμενος ἔχω;
2 σὺ δὲ φρυάττῃ, παιδισκάριον εὐτελές, καὶ κιχλίζουσα καὶ μωκωμένη με διατελεῖς. οὐ παύσῃ, τάλαινα, τῆς ἀγερωχίας; ἐγώ σοι τὸν ἐραστὴν δεσπότην καὶ κάχρυς ἐπὶ τῶν ἀγρῶν φρύγειν ἀναγκάσω, καὶ τότε εἴσῃ παθοῦσα οἷ κακῶν σαυτὴν ἐνέσεισας.

B x (*Harl. Ven.*) x¹ (*Γ Vat. 1*)

1 Κωρυκαῖος Mein., Κωρύκεος *B*, Κωρύκιος x, Κωρύκειος x¹ | 2 Στρόμβιχος *B*, Στρόχνος cet. | 4 ὡς] ὥσθ' Cob., ὥστε με Herch. (ed.) | ⟨ν⟩ add. Bergl. (ed.), ζημίᾳ Mein. (ed.), ⟨τῇ⟩ ζημίᾳ Herch. (ed.) | 5 ἀπὸ *Γ*, ὑπὸ cet. | προσοφλῆσαι] προσοφλεῖν Cob.

6 Γέμελλος] Μέγελλος *Γ*. Cf. III 39 | Σαλακωνίδι Reisk., Σαλαμωνίδι *O*, Σαλμωνίδι vel Σαλαμινίδι Bergl. Cf. § 1 | 7 Σαλακωνίς x, Σαλαμωνίς *B*, Σαλμωνίς cet. Vid. inscr. | post τάλαινα add. τὸν δεσπότην *B* | 8 παρὰ τὸν] περὶ τοῦ *Harl.*, περί του *Ven.* | ἀκεστὴν *Harl.*, ἀκέστην cet., Ἀκέστην Bergl. (ed.) | 9 τὸν] om. x | ἑτερόποδα] ἑτερόποδον *Vat. 1* | λάθρᾳ *B*, λαθραίως cet. | 11—12 καὶ—διατελεῖς] om. *Ven.* | 13 τὸν] τὴν x | post καὶ add. τὰς *B* | 14 κάχρυς] κέχρους x, κέγχρους x¹ | τῶν ἀγρῶν] τὸν ἀγρὸν *B*, τῷ ἀγρῷ Seil. | ἀναγκάσω *B*, ἀναπείσω cet. | τότε εἴσῃ] τοῦτο οἴσῃ *B* | 15 παθοῦσα Bast., μαθοῦσα *O* | οἷ—ἐνέσεισας *B*, οἵων κακῶν σαυτὴν ἔνδον ἔθηκας cet. (οἷον κακὸν x, σεαυτὴν x¹)

25 [III 28].

Σαλακωνὶς Γεμέλλῳ.

*Πάντα ὑπομένειν οἷα τέ εἰμι πλὴν τοῦ σοὶ συγκαθ-
εύδειν, δέσποτα. καὶ τὴν νύκτα οὐκ ἔφυγον οὐδὲ
ὑπὸ τοῖς θάμνοις ἐκρυπτόμην, ὡς ἐδόκεις, ἀλλὰ τὴν
κάρδοπον ὑπεισελθοῦσα ἐκείμην ἀμφιθεμένη τὸ κοῖλον
τοῦ σκεύους εἰς κάλυμμα. ἐπειδὴ δὲ κέκρικα βρόχῳ* 2
*τὸν βίον ἐκλιπεῖν, ἄκουε λεγούσης ἀναφανδόν, πάντα
γάρ μου περιαιρεῖ φόβον ἡ πρὸς τὸ τελευτᾶν ὁρμή·
ἐγώ σε, ὦ Γέμελλε, στυγῶ, τοῦτο μὲν βδελυττομένη τὸ
δάσος τοῦ σώματος καὶ ὥσπερ τι κίναδος ἐκτρεπομένη,
τοῦτο δὲ τὴν δυσχέρειαν τοῦ στόματος ἐκ τοῦ μυχαι-* 3
*τάτου τῆς φάρυγγος τὴν δυσοσμίαν ἐκπέμποντος. κακὸς
κακῶς ἀπόλοιο τοιοῦτος ὤν. βάδιζε παρά τινα λημῶσαν
ἄγροικον γραῦν ἐπὶ ἑνὶ γομφίῳ σαλεύουσαν, ἀληλιμ-
μένην τῷ ἐκ τῆς πίττης ἐλαίῳ.*

26 [III 29].

Ὥριος Ἀνθοφορίωνι.

Ἠπιστάμην σε, ὦ Ἀνθοφορίων, ἁπλοϊκὸν εἶναι

B x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

1 *Σαλακωνὶς* Reisk., *Σαλαμωνὶς* x, *Σαλμωνὶς B*, in x¹ inscr. est *ἀμοιβαία* | 2 *οἷα*] *οἷα B* | *σοὶ συγκαθεύδειν B*, *συγκαθεύδειν μετὰ σοῦ* cet. | 3 *δέσποτα*] *δή ποτε* Mein., *Νέμεσι δέσποινα* Stang. | *καὶ*] *καίτοι* Nab. | 4 *ὑπὸ*] *ἐπὶ B* | 7 *λεγούσης*] *λέγουσ' B*, om. Bergl. (ed.), *λέγω σοι* Wagn. | 8 *μου*] *ὁμοῦ B* | *τελευτᾶν*] *τελευταῖον Harl. Γ* | 9—10 *τοῦτο — ἐκτρεπομένη*] *ὥσπερ τι κίναδος ἐκτρεπομένη καὶ τοῦτο μὲν — σώματος* Herch. (ed.) | 10 *δάσος B*, *βάρος* x¹, *βάθος* x | *τι κίναδος*] *τι κίναιδος* x, *τις κίναιδος B* | 11 *στόματος*] *σώματος* x | 12 *ἐκπέμποντος*] *ἐκπέμποντα Γ* | 13 *λημῶσαν B*, *ληρῶσαν* x, *ληροῦσαν* x¹ | 14 *ἄγροικον*] *ἄγρικων* (sic) *Ven.* | *ἀληλιμμένην*] *ἀληλιμένος* (sic) x | 15 *ἐκ*] om. x *Vat. 1*

16 *Ὥριος* scripsi, *Ὥριος Γ*, *Ὅριος* cet., *Ὄρειος* Bast. | 17 ante *σε* add. *μέν* Cob. | *εἶναι*] om. x x¹

ἄνθρωπον καὶ αὐτόχρημα τὸν ἀπὸ τῆς ἀγροικίας ἄγροικον, ὄζοντα στεμφύλων καὶ κόνιν πνέοντα, ἠγνόουν δὲ ὅτι δεινὸς εἶ ῥήτωρ ὑπὲρ τοὺς ἐν Ἡλιαίᾳ τῶν ἀλλοτρίων
2 ἕνεκα δικομαχοῦντας. κινήσας γὰρ ἐπὶ τοῦ κωμάρχου δίκας ἔναγχος, οὐκ ἔστιν ἥντινα οὐχὶ νικήσας ἀπηλλάγης. μακάριε τῆς γλώττης καὶ λαλίστερε τρυγόνος. ἐγὼ δὲ ἑρμαίῳ σοι χρῶμαι, [κατὰ] τοῦτο δὴ τὸ τοῦ λόγου. ἔκκειμαι γὰρ τοῖς βουλομένοις τἀμὰ σφετερίζεσθαι καὶ ἀγαπῶ τὴν ἡσυχίαν, καὶ ταῦτα εἰδὼς ὅτι [μοι] πολλάκις ἐκ τῆς ἀπραγμοσύνης φύεται πράγματα.

27 [III 30].

Ἀμπελίων Εὐέργῳ.

Πολὺς ὁ χειμὼν τὸ τῆτες καὶ οὐδενὶ ἐξιτητόν. πάντα γὰρ ἡ χιὼν κατείληφε, καὶ λευκανθίζουσιν οὐχ οἱ λόφοι μόνον ἀλλὰ καὶ τὰ κοῖλα τῆς γῆς, ἀπορία δὲ ἔργων, ἀργὸν δὲ καθίζειν ὄνειδος. προκύψας δῆτα τῆς καλύβης οὐκ ἔφθην παρανοίξας τὸ θύριον καὶ ὁρῶ σὺν τῷ νιφετῷ δῆμον ὅλον ὀρνέων φερόμενον, καὶ

B x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

1 *αὐτόχρημα τὸν B*, *ἀφιλοχρήματον* x, *ἀθλοχρήματον* x¹, del. *τὸν* Bergl. | *ἄγροικον ὄζοντα B*, *ἀγροικίζοντα* cet., quod del. Hemst., del. *ἄγροικον* Seil. (ed.) | 2 *κόνιν B*, *κόνεως* cet. | 3 *Ἡλιαίᾳ* Hemst., *Μιλιαίῳ B*, *Μηλίῳ κατὰ* cet., *Μητιχείῳ* Bergl., *Μητίχου καλλίῳ* Bast., constr. duas in x x¹ conflatas esse statuit Bast. | 4 *ἕνεκα δικομαχοῦντας* Bergl., *ἕνεκεν ἀδικομαχούντων B*, *ἕνεκεν ἀδικομαχοῦντας* cet. | *κινήσας*] *νικήσας B* | *ἐπὶ*] *ἀπὸ Harl.* | 5 *ἥντινα*] *ἣν* x¹ | 7 *χρῶμαι*] om. x | [*κατὰ*] del. Mein. (ed.), om. *κατὰ τοῦτο δὴ* x¹, unde *τὸ δὴ τοῦ λόγου* Herch. (ed.), sed cf. III 20, 1 | 10 [*μοι*] del. Mein. | *πολλάκις*] *πολλὰ Γ*

13 *πολὺς*] *παλεῖς Ven.* | *τὸ τῆτες B*, *τοῖς θήταις Harl.*, *ταῖς θήτταις* cet. | *ἐξιτητόν* Bergl. (ed.), *ἐξίτητον B*, *ἐξιτόν* cet. Cf. *εἰσιτητόν* III 40, 3 | 14 *γὰρ*] om. *Ven.* x¹ | *κατείληφε*] *κατείληχε B* | 16 *ἀργὸν δὲ καθίζειν*] *ἀργῶς δὲ καταζῆν B* | 17 *θύριον*] *θήριον* x

κοψίχους καὶ κίχλας. εὐθέως οὖν ἀπὸ τῆς λεκάνης 2
ἀνασπάσας ἰξὸν ἐπαλείφω τῶν ἀχράδων τοὺς κλάδους,
καὶ ὅσον οὔπω τὸ νέφος ἐπέστη [τῶν στρουθίων] καὶ
πᾶσαι ἐκ τῶν ὀροδάμνων ἐκρέμαντο, θέαμα ἡδύ, πτε-
ρῶν ἐχόμεναι καὶ κεφαλῆς καὶ ποδῶν εἰλημμέναι. ἐκ 3
τούτων λάχος σοι τὰς πίονας καὶ εὐσάρκους ἀπέσταλκα
πέντε καὶ εἴκοσι. κοινωνεῖν γὰρ ἀγαθὸν τοῖς ἀγαθοῖς,
φθονοῦσι δὲ οἱ πονηροὶ τῶν γειτόνων.

28 [III 31].

Φιλόκωμος Ἀστύλλῳ.

Οὐπώποτε εἰς ἄστυ καταβὰς οὐδὲ εἰδὼς ὅ τί ποτε
ἐστὶν ἡ λεγομένη πόλις, ποθῶ τὸ καινὸν τοῦτο θέαμα
ἰδεῖν, ὑφ' ἑνὶ περιβόλῳ κατοικοῦντας ἀνθρώπους, καὶ
τἆλλα ὅσα διαφέρει πόλις ἀγροικίας μαθεῖν. εἰ οὖν 2
σοι πρόφασις ὁδοῦ ἄστυδε γένοιτο, ἧκε ἀπάξων νῦν
κἀμέ. καὶ γὰρ ἔγωγε ἄγειν οἶμαι τοῦ πλέον τι μαθεῖν,

B x (*Harl. Ven.*) x¹ (*Γ Vat. 1*)

1 κοψίχους] κοσσύφους *B* | 2 ἀχράδων] ἐχράδων *B* | 3 οὔπω] οὐδέπω vel οὐδεπώποτε Bergl., at cf. I 2, 4 | [τῶν στρουθίων] expunxi, τῶν στρουθῶν Herch. (ed.) | 4 ὀροδάμνων] ὀροδάμων *B* | ἡδύ] ἡ δὲ *Ven.* | 5 ἐχόμεναι] ἐχόμενα x | εἰλημμέναι] εἰλιμμέναι *B*, εἰλημμένα x | 6 λάχος σοι *B*, λαχός ων μοι (sic) *Harl.*, λαχὼν μοι x¹, λεχόμην μοι *Ven.*, λαβὼν σοι Reisk., λαχμὸν τὰς πίονάς σοι Bergl., λίχος σοι Metr. | 7 καὶ] om. x *Vat. 1* | κοινωνεῖν *B*, κοινὸν cet., κοινοῦν Mein., κοινὰ et τἀγαθά Herch. (ed.). Cf. II 29, 2 | γὰρ] δὲ *B* | ἀγαθὸν] ἀρεστὸν Pol. | φθονοῦσι *B*, φθονούντων cet.

9 Φιλόκωμος *B*, Φιλόκυμος cet. | Ἀστύλλῳ Reisk., Θεστύλλῳ *O*, Θεστύλῳ Herch. (ed.) | 10 εἰδὼς] ἴδω *B* | ὅ τί] τί *Vat. 1* | 11 καινὸν] κοινὸν x | 12 ὑφ'] ⟨τοὺς⟩ ὑφ' Herch. (ed.) | περιβόλῳ *B*, προβόλῳ cet. | 13 μαθεῖν] del. Herch. (ed.) | εἰ—γένοιτο] εἰ—γένηται x¹, unde εἰ—γενήσεται Herch. (ed.), ἢν—γένηται Herm. | 14 νῦν] del. Cob. | 15 ἔγωγε] ἔγω (sic) x, ἐγὼ x¹ | ἄγειν οἶμαι] δεῖν οἶμαι x¹, ἐν ὥρᾳ εἶναι οἶμαι vel ἐν ὥρᾳ εἰμὶ Beaud., ἔχειν οἶμαι ⟨ὥραν⟩ Meis., ὀρέγομαι Pol. | πλέον x, πλεῖον cet.

ἤδη μοι βρύειν θριξὶ τῆς ὑπήνης ἀρχομένης. τίς οὖν δή με τἀκεῖθι μυσταγωγεῖν ἐπιτηδειό⟨τερο⟩ς ἢ σὺ ὁ τὰ πολλὰ εἴσω πυλῶν ἀλινδούμενος;

29 [III 73].

Κωμαρχίδης Εὐχαίτῃ.

Ἡ ὗς ἡ πρῴην ἐπίτεξ εἶναι νομιζομένη ἀρτίως
τέτοκε, καὶ ἔχω δελφάκων ἀφθονίαν· γρύζουσι δὲ μάλ'
2 ἀηδές, ἀλλ' ἐδώδιμοι. μεταδίδωμι δῆτα καὶ σοὶ δύο
τούτων ἔχειν. οὔτε γὰρ πάντας οἷός τέ εἰμι τρέφειν
τῶν κριθῶν ὀλίγων οὐσῶν καὶ ἅμα τοῖς φίλοις κοι-
νωνεῖν τοὺς ἐν περιουσίαις ὄντας ἀγροικικῇ πρέπον
ἐπιεικείᾳ, οἵους ἡμᾶς ἡ φιλτάτη γῆ ἁπλοϊκοὺς καὶ φιλ-
αλλήλους τοὺς ἑαυτῆς τροφίμους ἀνεθρέψατο.

30 [III 32].

Σκοπιάδης Κοτί⟨ν⟩ωνι.

Βάλλ' ἐς μακαρίαν, οἷον κακόν ἐστιν, ὦ Κοτί⟨ν⟩ων, ἡ μέθη. ἐμπεσὼν γὰρ εἰς συμπόσιον κακοδαιμόνων ἀνθρώπων — οἰνόφλυγες δὲ πάντες ἦσαν, καὶ οὐδεὶς

B x *(Harl. Ven.)* et [praeter II 29] x[1] *(Γ Vat. 1)*

1 *ἀρχομένης*] *ἀρχομένῳ Γ* | 2 *τἀκεῖθι* scripsi, *κἀκεῖθι B*, *κακεῖν* x, *κἀκεῖ* x[1], *τἀκεῖ* Cob. | ⟨*τερο*⟩ add. Hirsch., mavult pro *ἢ* scribere *εἰ μὴ* Boissevain
5 *πρῴην*] *παρ' ἐμοὶ* x | *ἐπίτεξ εἶναι νομιζομένη*] om. x | 7 *ἀλλ' ἐδώδιμοι* Cob., *.ἀλλ' ἐδώδιμον O*, del. Herch. (ed.) | 9 *κριθῶν — οὐσῶν* Bast., *κριθίων — οὐσῶν O*, *κριθίων ὄντων* Schäfer. | 10 *ἐν περιουσίαις*] *περιουσίᾳ* (om. *ἐν*) *Harl.*, *περιουσίους Ven.* | 12 *ἑαυτῆς*] *ἑαυτῇ* x
13 *Σκοπιάδης*] *Σκορπιάδης* x, *Κοπιάδης* Seil., *Σκορδιάδης* Herch. (ed.) | ⟨*ν*⟩ addidi cl. II 12 inscr., in *Urb. 110* errore est *Σκοτίωνι* | 14 *βάλλ' B*, *βάλ'* cet. | ⟨*ν*⟩ vid. inscr. | 16 *οἰνόφλυγες*] *οἰνοφλυγεῖς B* | *δὲ*] om. *B* x

τὸ μέτρῳ πίνειν ἔστεργε — συνεχῶς δὴ περιφερομένης τῆς κύλικος — ἦν ⟨γὰρ⟩ τοῖς ἀρνουμένοις τοὐπιτίμιον [ἔδει γὰρ αὐτοὺς] εἰς τὴν ὑστεραίαν ἑστιᾶν — πιὼν οὖν ὅσον οὔπω πρότερον ἐν ἀσκῷ βαστάσας οἶδα, τρίτην ταύτην ἡμέραν ἔχω καὶ ἔτι σοι καρηβαρῶ καὶ τὴν κραιπάλην ἀπερυγγάνω.

31 [III 33].

Ἄνθυλλα Κορίσκῳ.

Ἔοικε καὶ τὰ νάματα εἰς τὸ ἄνω ῥυήσεσθαι, εἴ γε οὕτως, ὦ Κορίσκε, ἀφηλικέστερος γεγονώς, ὅτε ἤδη [λοιπὸν] ὑϊδοῦς καὶ θυγατριδοῦς ἔχομεν, ἐρᾷς κιθαρῳδοῦ γυναικὸς κἀμὲ κνίζεις ἄχρι τοῦ καὶ αὐτὴν ἐκρινῆσαι τὴν καρδίαν. ἐγὼ μὲν γὰρ ἀτιμάζομαι τρια- 2
κοστὸν ἔτος ἤδη συνοῦσά σοι, Παρθένιον δὲ ⟨ἡ⟩ ἱππό-

B et [usque ad II 31] x *(Harl. Ven.)* x[1] *(Γ Vat. 1)*

1 *τὸ μέτρῳ* Cob., *τῷ μέτρῳ τὸ O* | *πίνειν*] *πιεῖν Harl.* | 2sq. ⟨*γὰρ*⟩ add. Herm., *ἦν—τοὐπιτίμιον B*, *ἦν τοῖς ἀρνουμένοις ἐπέχεον* cet. | [*ἔδει γὰρ αὐτοὺς*] expunxi | *εἰς*] *καὶ εἰς* x[1]. Proposuit *ἦν—ἐπέχεον*, *ἦν αὐτοῖς τοὐπιτίμιον κ. τ. λ.* Bergl., *ἦν—τοὐπιτίμιον δεῖν αὐτοὺς καὶ εἰς* Valck., *ἦν* ⟨*γὰρ*⟩—⟨*τοῦτο*⟩ *τοὐπιτίμιον· ἔδει κ. τ. λ.* G. Hermannus, idem omisso *γὰρ* Seil. (ed.), del. *ἦν—τοὐπιτίμιον* Herm., del. *συνεχῶς—τοὐπιτίμιον* et *αὐτοὺς* Herch. (ed.) | 3 post *ἑστιᾶν* add. *εἴ τις ἠρνεῖτο τὴν κύαθον B* | *πιὼν—βαστάσας*] om. x x[1] | 4 *οὔπω πρότερον*] *οὐπώποτε* Nab. | 4—6 *οἶδα—ἀπερυγγάνω B*, *οἶδα δ' ἐγὼ τρίτην ταύτην ἡμέραν καρηβαρῶν—ἀπερυγγάνων* cet. (post *τρίτην* add. *ἔχων Harl.*), idem omisso *δ'* Bergl. (ed.), idem omisso *δ'* et addito *ἔχω καὶ* post *ἡμέραν* Seil. (ed.), *οἶδα τρίτην ταύτην ἔχω ἡμέραν καρηβαρῶν—ἀπερυγγάνων* vel *ἔχω* ⟨*κακῶς*⟩ Jacobs., del. *ἔχω καὶ* Herch. (ed.), *ἄγω* pro *ἔχω* scribit Meis.
8 *τὸ* Pol. (qui *τἄνω*), *τὰ O* | 9 ante *οὕτως* add. *σὺ* Cob. | *ἀφηλικέστερος* Bergl., *ἀφηλικέστερον B* | 10 [*λοιπὸν*] del. Cob. | *ὑϊδοῦς* Pierson., *υἱοὺς B*, *ὑϊδεῖς* vel *υἱωνοὺς* Reisk. | *θυγατριδοῦς* Seil., *θυγατριδοὺς B* | 13 *Παρθένιον* Toup., *παρθενίαν B*, *σοι παρθενίῳ· ἡ δὲ* Reisk. | ⟨*ἡ*⟩ add. Toup.

πορνος μεθ' ὑποκορισμῶν ἐκθεραπεύεται ὅλον σε αὐτοῖς ἀγροῖς καταπιοῦσα. γελῶσι δὲ οἱ νέοι, καὶ σὺ τοῦ γέλωτος ἀναισθήτως ἔχεις. ὦ γῆρας ἑταίρας παίγνιον.

32 [III 34].

Γνάθων Καλλικομίδῃ.

Τίμωνα οἶσθα, ὦ Καλλικομίδη, τὸν Ἐχεκρατίδου τὸν Κολλυτέα, ὃς ἐκ πλουσίου, σπαθήσας τὴν οὐσίαν εἰς ἡμᾶς τοὺς παρασίτους καὶ τὰς ἑταίρας, εἰς ἀπορίαν συνηλάθη, εἶτ' ἐκ φιλανθρώπου μισάνθρωπος ἐγένετο
2 *καὶ τὴν Ἀπημάντου ἐμιμήσατο στύγα. καταλαβὼν γὰρ τὴν ἐσχατιὰν ταῖς βώλοις τοὺς παριόντας βάλλει, προμηθούμενος μηδένα αὐτῷ καθάπαξ ἀνθρώπων ἐντυγχά-*
3 *νειν. οὕτως τὴν κοινὴν φύσιν ἀπέστραπται. οἱ λοιποὶ δὲ τῶν Ἀθήνησι νεοπλούτων Φείδωνός εἰσι καὶ Γνίφωνος μικροπρεπέστεροι. ὥρα μοι μετανίστασθαι καὶ πονοῦντι ζῆν. δέχου δὴ οὖν με μισθωτὸν κατ' ἀγρόν, πάντα ὑπομένειν ἀνεχόμενον ὑπὲρ τοῦ τὴν ἀπλήρωτον ἐμπλῆσαι γαστέρα.*

B

1 *σε αὐτοῖς* Bergl., *σεαυτὸν B* | 2 *καταπιοῦσα*] *καταπίνουσα* Nab.

4 *Γνάθων* Bergl., *Γνάδων B* | *Καλλικομίδῃ* Herch. (ed.), *Καλλικωμίδῃ B*. Cf. *Εὐχαίτης* II 29 inscr. | 5 *Καλλικομίδη*] vid. inscr. | 9 *Ἀπημάντου* Bergl., *ἀπήμαντον B* | 11 *μηδένα—ἀνθρώπων*] *μηδενὶ* [*αὐτῷ*] *ἀνθρώπων καθάπαξ* Cob. | 12 *λοιποὶ δὲ*] *δὲ λοιποὶ* Bergl. (ed.) | 13 *νεοπλούτων* Hemst., *μεσοπλούτων B*, *λακκοπλούτων* Hirsch. | *Φείδωνός—Γνίφωνος* Cob., *Φείδω$\overset{o}{ν}$ές—Γνίφω$\overset{o}{ν}$ες B* | 15 *δὴ*] *δὲ* Bergl. (ed.) | 16 *ὑπομένειν*] del. Herch. (ed.) | *ἀνεχόμενον*] *ἀνεξόμενον* Mein. (ed.), *ἂν δεχόμενον* Herw., *ἂν ἑλόμενον* Pol.

33 [III 35].

Θαλλίσκος Πετραίῳ.

Αὐχμὸς τὰ νῦν· οὐδαμοῦ νέφος ὑπὲρ γῆς αἴρεται· δεῖ δὲ ἐπομβρίας. διψῆν γὰρ τὰς ἀρούρας αὐτὸ τὸ κατάξηρον τῆς βώλου δείκνυσι. μάταια ἡμῖν, ὡς ἔοικε, καὶ ἀνήκοα τέθυται τῷ Ὑετίῳ, καίτοι γε ἐξ ἁμίλλης ἐκαλλιερήσαμεν πάντες οἱ τῆς κώμης οἰκήτορες, καὶ ὡς ἕκαστος δυνάμεως ἢ περιουσίας ⟨εἶχε⟩ συνεισηνέγκαμεν, ὁ μὲν κριὸν ὁ δὲ τράγον ὁ δὲ κάπρον, ὁ πένης πόπανον ὁ δὲ ἔτι πενέστερος λιβανωτοῦ χόνδρους [εὖ μάλα εὐρωτιῶντας], ταῦρον δὲ οὐδείς· οὐ γὰρ εὐπορία 2
βοσκημάτων ἡμῖν τὴν λεπτόγεων τῆς Ἀττικῆς κατοικοῦσιν. ἀλλ' οὐδὲν ὄφελος τῶν δαπανημάτων· ἔοικε γὰρ πρὸς ἑτέροις ἔθνεσιν ὁ Ζεὺς ὢν τῶν τῇδε ἀμελεῖν.

34 [III 36].

Πρατίνας Μεγαλοτέλει.

Χαλεπὸς ἦν ἡμῖν ὁ στρατιώτης, χαλεπός. ἐπεὶ γὰρ ἧκε δείλης ὀψίας καὶ κατήχθη οὐ κατὰ τύχην ἀγαθὴν εἰς ἡμᾶς, οὐκ ἐπαύσατο ἐνοχλῶν τοῖς διηγήμασι, δεκάδας τινὰς καὶ φάλαγγας ὀνομάζων, εἶτα σαρίσσας καὶ καταπέλτας καὶ δέρρεις· καὶ νῦν μὲν ὡς ἀνέτρεψε τοὺς 2

B

3 *αὐτὸ* Reisk., *αὐτὰς B* | 5 *ἀνήκοα*] *ἀνηκόῳ* Mein., sed jungendum *μάταια καὶ ἀνήκοα* | *τῷ*] *Διὶ* Hirsch., at cf. III 17, 3 | 7 ⟨*εἶχε*⟩ add. Bergl., *δυνάμεως* ⟨*ἦν*⟩ *ἢ* Seil. | *συνεισηνέγκαμεν* Cob., *συνεισηνέγκατο B* | 8 *κάπρον* Bergl., *καρπὸν B* | ante *πένης* add. *δὲ* Herw. | 9—10 [*εὖ μάλα εὐρωτιῶντας*] del. Seil. cl. III 17, 3

14 *Πρατίνας* Bergl. cl. II 9 inscr., Πρατῖνος B \ 15 χαλεπός.] *ὦ Μεγαλότελες.* Nab. | 18 σαρίσσας Bergl., σισάρας B \ *19 δέρρεις* Bergl., *δέρρας B*, γέρρας vel γέρρα item Bergl. *ἀνέτρεψε*] *ἐτρέψατο* Cob.

*Θρᾷκας τὸν προηγεμόνα βαλὼν μεσαγκύλῳ, νῦν δὲ
ὡς κοντῷ διαπείρας τὸν Ἀρμένιον ἀπώλεσεν· ἐπὶ πᾶσί
τε αἰχμαλώτους παρῆγε καὶ ἐδείκνυ γυναῖκας, ἃς ἔλεγεν
ἐκ τῆς λείας ὑπὸ τῶν στρατηγῶν ἀριστείας αὐτῷ γέρας
3 δεδόσθαι. τῷ δ' ἐγὼ ἐγκανάξας κύλικα εὐμεγέθη φλυα-
ρίας φάρμακον ὤρεγον, ὁ δὲ καὶ ταύτην καὶ πλείονας
ἐπὶ ταύτῃ καὶ ἁδροτέρας ἐκπιὼν οὐκ ἐπαύσατο τῆς
ἀδολεσχίας.*

35 [III 37].

Ἐπιφυ⟨λ⟩λὶς Ἀμαρακίνῃ.

*Εἰρεσιώνην ἐξ ἀνθῶν πλέξασα ἤειν ἐς ἕρμα Φαι-
δρίου τοῦ Ἀλωπεκῆθεν ταύτην ἀναθήσουσα. εἶτά μοι
λόχος ἐξαίφνης ἀναφαίνεται νέων ἀγερώχων ἐπ' ἐμὲ
συντεταγμένων· ὁ λόχος δὲ τῷ Μοσχίωνι συνέπραττεν.
2 ἐπεὶ γὰρ τὸν μακαρίτην ἀπέβαλον Φαιδρίαν, οὐκ ἐπαύ-
σατό μοι πράγματα παρέχων καὶ γαμησείων· ἐγὼ δὲ ἀνη-
νάμην ἅμα μὲν τὰ νεογνὰ παιδία κατοικτείρουσα ἅμα
δὲ τὸν ἥρω Φαιδρίαν ἐν ὀφθαλμοῖς τιθεμένη. ἐλάν-
θανον δὲ ὑβριστὴν ὑμέναιον ἀναμένουσα καὶ θάλαμον
3 νάπην εὑρίσκουσα. εἰς γάρ με τὸ συνηρεφὲς ἀγαγών,
οὗ τὸ πύκνωμα συνεχὲς ἦν τῶν δένδρων, αὐτοῦ που
κατὰ τῶν ἀνθῶν καὶ τῆς φυλλάδος, αἰδοῦμαι εἰπεῖν,*

B

4 *γέρας*] del. Cob. | 5 *δεδόσθαι* Bergl. (ed.), *διδόσθαι* (sic) *B* | *τῷ δ' ἐγὼ* Gloss. Eichst., *τῷ δὲ B*, *ὡς δὲ* Herch. (ed.) | 8 post *ἀδολεσχίας* add. *εἰ μὴ μόλις* Nab.

9 ⟨*λ*⟩ add. Bergl. | 10 *ἀνθῶν*] *ἀνθέων* Herch. | *ἕρμα Φαιδρίου τοῦ* Mein., *Ἑρμαφροδίτου B*, *Ἕρμον Ἀφροδίτῃ τῇ* Herm. Ad *εἰρεσιώνῃ* cf. C. I. Gr. I 956 | 13 *τῷ*] om. Bergl. (ed.) | 18 *ἀναμένουσα*] *ὑπομένουσα* Mein. An *ὑπομενοῦσα*? | 19 *εὑρίσκουσα*] *εὑρήσουσα* Cob. | *με τὸ συνηρεφὲς*] *τὸ συνηρεφές με Hirsch.* | 21 *ἀνθῶν*] *ἀνθέων* Herch.

ὦ φιλτάτη, τί παθεῖν ἐπηνάγκασε. καὶ ἔχω τὸν ἐξ ὕβρεως ἄνδρα, οὐχ ἑκοῦσα μὲν ὅμως δὲ ἔχω. καλὸν μὲν γὰρ ἀπείρα[σ]τον εἶναι τῶν ἀβουλήτων, ὅτῳ δὲ οὐχ ὑπάρχει τοῦτο, κρύπτειν τὴν συμφορὰν ἀναγκαῖον.

36 [III 38].

Εὔδικος Πασίωνι.

Φρύγα οἰκέτην ἔχω πονηρόν, ὃς ἀπέβη τοιοῦτος ἐπὶ
τῶν ἀγρῶν· ὡς γὰρ τῇ ἕνῃ καὶ νέᾳ κατ' ἐκλογὴν τοῦ-
τον ἐπριάμην, Νουμήνιον μὲν εὐθὺς ἐθέμην καλεῖσθαι,
δόξαντα δὲ εἶναι ῥωμαλέον καὶ ἐγρηγορὸς βλέποντα
μετὰ περιχαρ⟨ε⟩ίας ἦγον ὡς ἐπὶ τῆς ἐσχατιᾶς μοι ἐσό-
μενον. ἦν δὲ οὗτος ἄρα λαμπρὰ ζημία. ἐσθίει μὲν 2
γὰρ τεσσάρων σκαπανέων σιτία, ὑπνοῖ δὲ ὅσον ἤκουσα
τετυφωμένου σοφιστοῦ λέγοντος Ἐπιμενίδην τινὰ
Κρῆτα κεκοιμῆσθαι, ἢ ὡς ἀκούομεν τὴν Ἡρακλέους
τριέσπερον. τί ἂν οὖν ποιοί[μ]ην, ὦ φίλτατε ἑταίρων
καὶ συγγεωργῶν, ἴθι φράσον, ἐπὶ τοιούτῳ θηρίῳ κατα-
βαλὼν ἀργυρίδιον;

B

1 τί Bergl. (ed.), τὸ *B*, ὅ τι Cob., τι Herch. | ἔχω Bergl., ἔξω *B*, ἔξω Bergl. (ed.), del. Herch. (ed.) | 3 [σ] induxit Cob.

6 πονηρόν] del. Pol. | ὃς—ἀγρῶν] del. Mein. (ed.), pro ἀπέβη requirit ἀνεφάνη Herw. | 7 ἕνῃ Cob., ἕνη *B* | 9 δόξαντα δὲ] δόξας τε Bergl. (ed.) | ἐγρηγορὸς Bergl., ἐγρηγορῶς *B* | 10 ⟨ε⟩ add. Mein. (ed.) | 11 ἄρα Bergl., ἅμα *B*, μάλα Ruhnk. | 12 ἤκουσα τετυφωμένου Bergl., ἠκούσατε τυφουμένου *B* | 14 ἢ—τριέσπερον] del. Mein. (ed.), hab. Ἡρακλέως *B* | 15 [μ] del. Hirsch. | 16 συγγεωργῶν] συνεργῶν Bergl. (ed.) | φράσον Bergl., φράσειν *B*

37 [III 39].

Φιλομήτωρ Ἐπιφανίῳ.

Πρὸς θεῶν καὶ δαιμόνων, ὦ μῆτερ, ἐπ' ὀλίγον καταλιποῦσα τοὺς σκοπέλους καὶ τὴν ἀγροικίαν, θέασαι πρὸ τῆς τελευταίας ἡμέρας τὰ κατ' ἄστυ καλά. οἷα γὰρ οἷά σε λανθάνει, Ἁλῷα καὶ Ἀπατούρια καὶ Διονύσια καὶ ἡ νῦν ἑστῶσα σεμνοτάτη τῶν Θεσμοφορίων ἑορτή.
2 *ἡ μὲν οὖν Ἄνοδος κατὰ τὴν πρώτην γέγονεν ἡμέραν, ἡ Νηστεία δὲ τὸ τήμερον εἶναι παρ' Ἀθηναίοις ἑορτάζεται, τῇ Καλλιγενείᾳ δὲ εἰς τὴν ἐπιοῦσαν θύουσιν. εἰ οὖν ἐπειχθεῖσα ἔρχῃ, ἕωθεν πρὸ τοῦ τὸν ἑωσφόρον ἐξελθεῖν συνθύεις ταῖς Ἀθηναίων γυναιξὶν [αὔριον].*
3 *ἧκε οὖν, μὴ μέλλε, ναὶ πρὸς ἐμῆς καὶ τῶν αὐταδέλφων τῶν ἐμῶν σωτηρίας. τὸ γὰρ ἄγευστον πόλεως καταλῦσαι τὸν βίον ἀποτρόπαιον, ὡς ὂν θηριῶδες καὶ δύστροπον. ἀνέχου δέ, ὦ μῆτερ, τῆς ἐπὶ τῷ συμφέροντι παρρησίας· καλὸν ἅπασιν ἀνθρώποις ἀνυποστόλως ὁμιλεῖν, οὐχ ἥκιστα δὲ ἀναγκαῖον τὸ πρὸς τοὺς οἰκείους ἀληθίζεσθαι.*

B

1 *Φιλομήτωρ*] hic collocavit Bergl., in *B* est in inscr. ep. sq. | *Ἐπιφανίῳ*] *Ἐπιφανίδι* vel *Ἐπιφάνιδι* Bergl. | 2 *ἐπ'* Mein., *πρὸς B* | 6 *ἑστῶσα*] *ἐνεστῶσα* Hirsch. | 7 *οὖν*] *γὰρ* Bergl. (ed.) | *κατὰ—ἡμέραν*] fort. *τῇ προτεραίᾳ γέγονεν* | 8 *παρ' Ἀθηναίοις*] exp. Herch. (ed.) | 9 *τῇ Καλλιγενείᾳ* Bergl., *τὰ Καλλιγένεια B*, *τὰ Καλλιγενείας* Meis. | *θύουσιν*] *θύσουσιν* Cob., sed ita Alc. saepius, cf. sqq. | 10 *ἐπειχθεῖσα ἔρχῃ* Mein., *ἐπειχθείης ἔρχῃ B*, *ἐπειχθείης καὶ ἔρχῃ* Reisk., del. *ἔρχῃ* Cob., *ἐπειχθείης ἐρχομένη* item Mein. | 11 *συνθύεις*] *συνθύσεις* Reisk., at vid. supra | [*αὔριον*] expunxi | 12 *ναὶ* Bergl., *καὶ B* | 14 *ὡς—δύστροπον*] del. Herch. | 15 *δέ* Bergl. (ed.), *δή B* | 17 *ἀναγκαῖον*] del. Nauck.

38 [III 40].

Εὐθύδικος Φιλίσκῳ.

Ἐγὼ μὲν τὸν παῖδα ἀποδόσθαι εἰς ἄστυ ξύλα καὶ κριθὰς ἀπέπεμψα, ἐπανήκειν τὴν αὐτὴν τὰ κέρματα κομίζοντα παρεγγυῶν. χόλος δὲ ἐμπεσὼν ἐξ ὅτου⟨οὖν⟩ δαιμόνων εἰς αὐτὸν [οὐκ ἔχω λέγειν], ὅλον παρήμειψε καὶ φρενῶν ἔξω κατέστησε. θεασάμενος γὰρ ἕνα τουτωνὶ τῶν μεμηνότων, οὓς διὰ τὸ μανιῶδες πάθος [λύτταν] κύνας ἀποκαλεῖν εἰώθασιν, ὑπερέβαλε τῇ μιμήσει τῶν κακῶν τὸν ἀρχηγέτην. καὶ ἔστιν ἰδεῖν 2 *θέαμα ἀποτρόπαιον καὶ φοβερόν, κόμην αὐχμηρὰν ἀνασείων, τὸ βλέμμα ἰταμός, ἡμίγυμνος ἐν τριβωνίῳ, πηρίδιον ἐξηρτημένος καὶ ῥόπαλον ἐξ ἀχράδος πεποιημένον μετὰ χεῖρας ἔχων, ἀνυπόδητος, ῥυπῶν, ἄπρακτος, τὸν ἀγρὸν καὶ ἡμᾶς οὐκ εἰδὼς τοὺς γονεῖς, ἀλλ᾽ ἀρνούμενος, φύσει λέγων γεγονέναι τὰ πάντα καὶ τὴν τῶν στοιχείων σύγκρασιν αἰτίαν εἶναι γενέσεως, οὐχὶ τοὺς πατέρας. εὔδηλον δέ, ὅτι καὶ χρημάτων ὑπερορᾷ καὶ* 3 *γεωργίαν στυγεῖ. ἀλλὰ καὶ αἰσχύνης αὐτῷ μέλει οὐδὲν καὶ τὴν αἰδῶ τῶν προσώπων ἀπέξυσται. οἴμοι οἷόν σε, ὦ γεωργία, τὸ τῶν ἀπατεώνων τουτωνὶ φροντιστή-*

B

1 *Εὐθύδικος*] hic colloc. Bergl., in *B* est in inscr. ep. praec. | *Φιλίσκῳ* Mein., *Φιλισκῷ B* | 5 [*οὐκ ἔχω λέγειν*] del. Cob. scripto *ὅτου⟨δή⟩*, pro quo *ὅτου⟨οὖν⟩* Herch. (ed.) | 6 ante *φρενῶν* add. *τῶν* Bergl. (ed.) | 8 [*λύτταν*] del. Wagn. (ed.), *λυττάναν B* | 11 *ἀνασείων*] *ἀνασιλλῶν* Hemst. | 13 *ἄπρακτος*] *ἄκαρτος* Reisk. | 16 *σύγκρασιν*] *σύγκρισιν* Hemst. | 17 *εὔδηλον —στυγεῖ* Herm., *εὔδηλον δέ ἐστι—περιορᾶν—στυγεῖν B*, idem sed *εὔδηλος* vel *ἔνδηλος* Reisk., *εὔδηλος δέ ἐστι—ὑπερορῶν—στυγῶν* Cob., idem sed *περιορῶν* Herch. (ed.) | 19 *τῶν προσώπων*] *τοῦ προσώπου* cl. I 12,1 Bergl. | 19—20 *οἷόν—τὸ*] *οἷόν σοι—τὸ* Hemst., *οἷόν σοι—⟨γεωργὸν⟩ τὸ* Mein., *οἷον σέ, ὦ γεωργέ, τὸ* Herch. (ed.)

ριον ἐξετραχήλισε. μέμφομαι τῷ Σόλωνι καὶ τῷ Δράκοντι, οἳ τοὺς μὲν κλέπτοντας σταφυλὰς θανάτῳ ζημιοῦν ἐδικαίωσαν, τοὺς δὲ ἀνδραποδίζοντας ἀπὸ τοῦ φρονεῖν τοὺς νέους ἀθῴους εἶναι τιμωρίας ἀπέλιπον.

39 [III 41].

Δρυάδης Μηλίῳ.

Ἔπεμψά σοι τῶν Δεκελειᾶσι προβάτων ἀποκείρας
τὰ ῥωμαλέα τοὺς πόκους· ὅσα γὰρ ψώρας ὑπόπλεα,
ταῦτα τῷ ποιμένι Πυρρίᾳ παρέδωκα χρῆσθαι ἐς ὅ τι
ἂν θέλῃ, πρὶν φθάσαι διαφθαρῆναι παντελῶς ὑπὸ τῆς
2 νόσου. ἔχουσα οὖν ἀφθονίαν ἐρίων ἐξύφηνον ἡμῖν
ἐσθήματα πρόσφορα ταῖς ὥραις, ὡς εἶναι τὰ μὲν τῷ
θέρει προσαρμόζοντα λεπτοϋφῆ, τὰ δὲ χειμέρια ἐχέτω
περιττῶς τῆς κρόκης καὶ πεπαχύνθω πλέον, ἵνα τὰ μὲν
τῇ μανότητι σκιάζῃ μόνον καὶ μὴ καταθάλπῃ τὰ σώματα, τὰ δὲ τῇ βαρύτητι ἀπείργῃ τὸν κρυμὸν καὶ
3 ἀλεξάνεμα τυγχάνῃ. καὶ ἡ παρθένος δέ [ἡ παῖς], ἣν
ἔχομεν ἐν ὥρᾳ γάμου, συλλαμβανέτω τῆς ἱστουργίας ταῖς θεραπαινίσιν, ἵνα εἰς ἀνδρὸς ἐλθοῦσα μὴ καταισχύνῃ τοὺς πατέρας ἡμᾶς. καὶ ἄλλως δὲ εἰδέναι σε χρή, ὡς αἱ ταλασίαν ἀγαπῶσαι καὶ τὴν Ἐργάνην θεραπεύουσαι κόσμῳ βίου καὶ σωφροσύνῃ σχολάζουσιν.

B

4 φρονεῖν] ἀφρονεῖν Reisk., φροντίζειν Mein. (ed.), del. ἀπὸ τοῦ φροντίζειν Herch. (ed.) | εἶναι] del. Cob. | ἀπέλιπον] κατέλιπον Herch. (ed.)

5 Μηλίῳ Seil., Μηλίωνι *B*, Μηλιάδι Bergl., Μηλιόνῃ Mein. (ed.), Μηλινόῃ Herch. (ed.) Vid. II 14 inscr. | 8 ἐς] del. Cob. | 9 φθάσαι] del. Cob. | 16 [ἡ παῖς] del. Cob. | 21 σωφροσύνῃ Bergl. (ed.), σωφροσύνης *B*

LIBER III.

ΑΛΚΙΦΡΟΝΟΣ ΡΗΤΟΡΟΣ
ΕΠΙΣΤΟΛΑΙ ΠΑΡΑΣΙΤΩΝ.

1 [III 4].

Ἐκτοδιώκτης Λοπαδεκθάμβῳ.

Ὁ γνώμων οὔπω σκιάζει τὴν ἕκτην, ἐγὼ δὲ ἀποσκλῆναι κινδυνεύω τῷ λιμῷ κεντούμενος. εἶεν, ὥρα σοι βουλεύματος, Λοπαδέκθαμβε, μᾶλλον δὲ μοχλοῦ καὶ καλῳδίου [ἀπάγξασθαι]· εἰ γὰρ ἢ ὅλην καταβα- 2
λοῦμεν τὴν κίονα τὴν τὸ πικρὸν τοῦτο ὡρολόγιον ἀνέχουσαν, ἢ τὸν γνώμονα τρέψομεν ἐκεῖσε νεύειν οὗ τάχιον δυνήσεται τὰς ὥρας ἀποσημαίνειν, ἔσται τὸ βού-

x *(Harl. Ven.) Neap.*ᵃ *N* x¹ *(Γ Vat. 1)*

1 *Ἐκτοδιώκτης*] pro *Τρεχέδειπνος* huc reduxi ex inscr. ep. sq. (cf. § 2) | *Λοπαδεκθάμβῳ*] *Λοπαδεχθάμβῳ* *N* x¹. Om. inscr. *Neap.*ᵃ, sed vid. § 1 | 2 *ἀποσκλῆναι* *N* x¹, *ἀπεσκληκέναι* cet. Cf. III 3, 2 et Eust. 1295, 39 | 3 *κεντούμενος*] del. Cob. | 4 *σοι*] *τοι* Arnald., *μοι* Mein. (ed.), om. Herch. (ed.) | *Λοπαδέκθαμβε*] *Λοπαδέχθαμβε* *N* x¹ | 5 [*ἀπάγξασθαι*] del. Herel. | 5 sqq. *εἰ γὰρ ἢ — ἢ — ἔσται* Seil., *εἰ γὰρ — ἢ — καὶ ἔσται* x *Neap.*ᵃ, *εἰ γὰρ καὶ — ἢ — ἔσται* cet., *εἰ γὰρ καὶ — ἢ — καὶ ἔσται* Mein. (ed.), *εἰ γὰρ — ἢ — ἔσται* Herch. (ed.), *εἰ γὰρ καὶ — εἰ⟨δὲ⟩ — ναὶ ἔσται* Mein. (mox tamen delens *Λοπαδέκθαμβε — ἀπάγξασθαι* et *ἢ — ἢ*), *εἰ ἄρα καὶ — ἢ τόν ⟨γε⟩ — καὶ ἔσται* Herm.

λευμα Παλαμήδειον· ὡς νῦν ἐγώ σοι αὖος ὑπὸ λιμοῦ καὶ αὐχμηρός. Θεοχάρης δὲ οὐ πρότερον καταλαμβάνει τὴν στιβάδα πρὶν αὐτῷ τὸν οἰκέτην δραμόντα φράσαι
3 *τὴν ἕκτην ἑστάναι. δεῖ οὖν ἡμῖν τοιούτου σκέμματος, ὃ κατασοφίσασθαι καὶ παραλογίσασθαι τὴν τοῦ Θεοχάρους εὐταξίαν δυνήσεται. τραφεὶς γὰρ ὑπὸ παιδαγωγῷ βαρεῖ καὶ ὠφρυωμένῳ οὐδὲν φρονεῖ νεώτερον, ἀλλ᾽ οἷά τις Λάχης ἢ Ἀπόληξις αὐστηρός ἐστι τοὺς τρόπους καὶ οὐκ ἐπιτρέπει τῇ γαστρὶ πρὸ τῆς ὥρας ἐμπίπλασθαι.*

2 [III 5].

Τρεχέδειπνος Μανδυλοκολάπτῃ.

Χθὲς δείλης ὀψίας Γοργίας ὁ Ἐτεοβουτάδης συμβαλών μοι κατὰ τύχην χρηστῶς ἠσπάσατο καὶ κατεμέμφετο ὅτι μὴ θαμίζοιμι παρ᾽ αὐτόν. καὶ μικρὰ προσπαίξας ‛ἴθι πρὸς Διός᾽ εἶπεν ‛ὦ βέλτιστε, καὶ μετὰ βραχὺ λουσάμενος ἧκε Ἀηδόνιον ἡμῖν τὴν ἑταίραν

x *(Harl. Ven.) Neap.*^{a} *N* x^1 *(Γ Vat. 1)*

1 *σοι*] om. *Neap.*^{a} | 2 *Θεοχάρης*] *Θεοχάρις Neap.*^{a}, *Θεόχαρις* x^1 | 3 *οἰκέτην*] *ἱκέτην Neap.*^{a}, *οἰκεῖον* x^1 | *φράσαι*] *φθάσαι Neap.*^{a} | 5 *κατασοφίσασθαι καὶ παραλογίσασθαι*] ord. inv. x, del. *καὶ παραλογίσασθαι* Mein. (ed.) | *τοῦ Θεοχάρους*] om. *τοῦ N*, *τοῦ Θεοχάριδος* x^1 | 7 *νεώτερον*] *ἠπιώτερον* Metr. | 8 *οἷα — Ἀπόληξις* (ita Hemst. pro *Ἀποληξίας*)] om. x *Neap.*^{a} | *τοὺς τρόπους* Hirsch., *τοῖς τρόποις O* | 9 post *ὥρας* add. *ἢ ἐκεῖνοι N*x^1, *ἢ ἐκείνης* Bergl. (ed.) | 10 *ἐμπίπλασθαι*] *τοῦ πίμπλασθαι N*x^1, *τοὐμπίπλασθαι* Bergl. | hic add. *ἔρρωσο N*x^1. Vid. ad I 17, 3

11 *Τρεχέδειπνος*] vid. III 1 inscr. | *Μανδυλοκολάπτῃ*] *Μανδυλικολάπτῃ* x, *Μανδιλοκολάπτῃ N*, *Μανδιλοκλέπτῃ* Reisk., *Μαινιδοκολάπτῃ* vel *Σκανδικοκολάπτῃ* Gloss. Eichst., *Μανδυοκλέπτῃ* vel *κανδυλοκολάπτῃ* Seil., *Μανδηλοκολάπτῃ* Mein., *Μαγδαλιοκάπτῃ* Herch. (ed.) | 12 *Ἐτεοβουτάδης*] *Ἑτεροβουτάδης Ven.*, *Ἐτεοβουτάδου N* | 13 *χρηστῶς*] *ὁ χρυσοῦς* vel *ὁ χρηστὸς* Mein. An *οὐ κατὰ τύχην χρηστὴν*?

*ἄγων. ἔστι δέ μοι συνήθης ἐπιεικῶς καὶ μένει, πάν-
τως οὐκ ἀγνοεῖς, μικρὸν ἄπωθεν τοῦ Λεωκορίου·
δεῖπνον [τε] ἡμῖν ηὐτρέπισται γεννικὸν ἰχθὺς τεμαχί-* 2
*της καὶ σταμνία τοῦ Μενδησίου νέκταρος, εἴποι τις
ἄν, πεπληρωμένα.' καὶ ὁ μὲν ταῦτα εἰπὼν ᾤχετο·
ἐγὼ δὲ παρὰ τὴν Ἀηδόνιον δραμὼν καὶ φράσας παρ'
ὅτου καλοῖτο, ἐδέησα κινδύνῳ περιπεσεῖν. ἀγνώμονος* 3
*γάρ, ὡς ἔοικε, πειραθεῖσα τοῦ Γοργίου καὶ μικροπρε-
ποῦς περὶ τὰς ἀποδόσεις, τὴν ὀργὴν ἔναυλον [ἐγκει-
μένην] ἔχουσα, πλήρη τὴν κακ⟨κ⟩άβην ἀποσπάσασα
τῶν χυτροπόδων ἐδέησέ μου κατὰ τοῦ βρέγματος κατα-
χέαι ζέοντος τοῦ ὕδατος, εἰ μὴ φθάσας ἀπεπήδησα
παρὰ βραχὺ φυγὼν τὸν κίνδυνον. οὕτως ἡμεῖς ἐλπίσιν
ἀπατηλαῖς βουκολούμενοι πλείους τῶν ἡδονῶν τοὺς
προπηλακισμοὺς ὑπομένομεν.*

3 [III 6].

Ἀρτεπίθυμος Κνισοζώμῳ.

Ἀγχόνης μοι δεῖ, καὶ ὄψει με οὐ μετὰ μακρὸν ἐν

x (*Harl. Ven.*) *Neap.*[a] *N* x[1] (*Γ Vat. 1*)

1 ἐπιεικῶς] *ἐπιεικὸς Ven.* | *πάντως Neap.*[a], *πάντως ὡς* cet., *ὡς πάντως* Reisk. | 2 *ἄπωθεν Γ*, *ἄποθεν* cet. | *λεωκορίου*] *νεωκορίου N*x[1] | 3 [*τε*] del. Bergl. (ed.) | *ηὐτρέπισται* Bergl. (ed.), *ηὐτρέπιστο O* | *γεννικὸν*] *γεννικὸς Neap.*[a] | *ἰχθὺς τεμαχίτης*] *ἰχθύες τεμμαχῖται* (sic) *N*x[1], idem sed *τεμαχῖται* Seil. | 5 *ἄν*] om. x | 6 *παρὰ*] *περὶ Vat. 1* | *καὶ φράσας*] om. *Neap.*[a] | 7 *καλοῖτο*] *καλεῖτο Ven.*, *καλεῖται* Mein. (ed.) | *ἐδέησα*] requirit (vix recte) *ὀλίγου* vel *μικροῦ* Bergl., idem supplens ante sq. *ἐδέησε* | 9 *περὶ*] *πρὸς N*x[1] | *ἀποδόσεις*] *ἀποδώσεις Harl.*, *ἀντιδόσεις N*x[1] | [*ἐγκειμένην*] del. Hemst. | 10 *ἔχουσα*] *ἔχουσαν Neap.*[a] | ⟨*κ*⟩ add. Herch. (ed.) | *ἀποσπάσασα*] *ἀνασπάσασα N*x[1] | 11 *βρέγματος*] *βρέχματος Vat. 1* | 12 *τοῦ*] om. Bergl. (ed.)

16 *Κνισοζώμῳ*] *Κνιζοζώμῳ* x, *Κνισσόζῳ* Reisk. | 17 *καὶ*] *ἢ Γ* | *μακρὸν* Reisk., *μικρὸν O*, del. *οὐ* Bergl., in *σὺ* mutat

βρόχῳ τὸν τράχηλον ἔχοντα. οὔτε γὰρ τὰ ῥαπίσματα
οἷός τέ εἰμι φέρειν καὶ τὴν ἄλλην παροινίαν τῶν κά-
κιστ' ἀπολουμένων ἐρανιστῶν, οὔτε τῆς μιαρᾶς καὶ
2 ἀδηφάγου γαστρὸς κρατεῖν· ἡ μὲν γὰρ αἰτεῖ, καὶ οὐ
πρὸς κόρον μόνον ἀλλ' εἰς τρυφήν· τὸ πρόσωπον δὲ τὰς
ἐπαλλήλους πληγὰς οὐκ ἀνέχεται, καὶ κινδυνεύω τοῖν
ὀφθαλμοῖν τὸν ἕτερον συσταλῆναι ὑπὸ τῶν ῥαπισμά-
3 των ἐνοχλούμενος. ἰοὺ ἰοὺ τῶν κακῶν, οἷα ὑπομένειν
ἡμᾶς ἀναγκάζει ἡ παμφάγος αὕτη καὶ παμβορωτάτη
γαστήρ. ἔκρινα οὖν πολυτελοῦς τραπέζης ἀπολαύσας
ἀποπτύσαι τὸ ζῆν, κρείττονα ὀδυνηροῦ βίου τὸν καθ'
ἡδονὴν θάνατον ἡγησάμενος.

4 [III 7].

Ἑτοιμόκοσσος Ζωμεκπνέοντι.

Ἰατταταιάξ, τίς ἦν ἡ χθὲς ἡμέρα; ἢ τίς δαίμων ἢ
θεὸς ἀπὸ μηχανῆς ἐρρύσατό μ' ἐν ἀκαρεῖ μέλλοντα
2 παρὰ τοὺς πλείονας ἰέναι; εἰ μὴ γὰρ ἀναζεύξαντά με
τοῦ συμποσίου κατά τινα ἀγαθὴν τύχην Ἀκεσίλαος ὁ
ἰατρὸς ἡμιθνῆτα, μᾶλλον δὲ αὐτόνεκρον, θεασάμενος
[ἕνα τῶν κάτω], ⟨τοῖς⟩ μαθηταῖς ἐπέταττεν φοράδην

x (Harl. Ven.) Neap.^{a} *N* x^1 *(Γ Vat. 1)*

Mein. | τὰ — φέρειν] οἷός τέ εἰμι τὰ ῥαπίσματα om. φέρειν *Neap.*^{a} | 2 καὶ] om. *Neap.*^{a} | 4 ἀδηφάγου *Γ*, ἀδδηφάγου cet. | 7 τὸν] om. *O* praeter *Γ* | συσταλῆναι] συσκλῆναι Reisk., σταλάων εἶναι Metr. | 8 ἐνοχλούμενος] del. Cob. | 9 παμβορωτάτη] πάμβορος *Vat. 1* | 11 κρείττονα ὀδυνηροῦ βίου] ὀδυνηροῦ βίου κρείττονα *N*, idem sed κρείττω x^1

13 Ἑτοιμόκοσσος] Ἑτοιμόκροσσος *Vat. 1*, Ἑτοιμόκορος Bergl. (ed.) | 15 μ' ἐν ἀκαρεῖ Cob., με ἀκαρεῖ *Harl.*, με ἀκαρῆ cet. | 17 Ἀκεσίλαος] Ἀγεσίλαος *Neap.*^{a} | 18 αὐτόνεκρον Mein. (ed.), αὐτονεκρὸν *O* | 19 [ἕνα τῶν κάτω] del. Arnald., defend. cl. *Plat. Conv.* 185 c d Beaud. | ⟨τοῖς⟩ add. Herch. (ed.)

ἀνελεῖν, ⟨καὶ⟩ ἤγαγεν ὡς ἑαυτὸν οἴκαδε καὶ ἀπερᾶν
ἐπηνάγκασεν, ἔπειτα ῥυῆναι φλέβα διατεμὼν τὸ πολὺ
τοῦ αἵματος ἐποίησεν, οὐδὲν ἂν ἐκώλυσεν ἀνεπαισθή-
τῳ με τῷ θανάτῳ διαφθαρέντα ἀπολωλέναι. οἷα γὰρ 3
οἷα [πάσχει τὰ δίκαια] ⟨οἱ⟩ λακκόπλουτοι εἰργάσαντό
με ἄλλος ἄλλοθεν περιττὰ πίνειν καὶ πλείω ἢ κατὰ
τὸ κύτος τῆς γαστρὸς ἐσθίειν ἀναγκάζοντες. ὁ μὲν 4
γὰρ ἀλλᾶντα ἐνέσαττεν, ὁ δὲ κόπαιον εὐμέγεθες παρ-
ώθει ταῖς γνάθοις, ὁ δὲ κρᾶμα, οὐκ οἶνον, ἀλλὰ νᾶπυ
καὶ γάρον καὶ ὄξος κερασάμενος, καθάπερ εἰς πίθον
ἐνέχει. αὐτίκα λέβητας πιθάκνας ἀμίδας ἐμῶν ἀπεπλή- 5
ρωσα, ὥστε αὐτὸν τὸν Ἀκεσίλαον θαυμάζειν ποῦ καὶ
τίνα τρόπον ἐχώρησα τοσοῦτον βρωμάτων φορτόν. ἀλλ'
ἐπειδὴ θεοὶ σωτῆρες καὶ ἀλεξίκακοι προὔπτου με κιν-

x *(Harl. Ven.) Neap.*ᵃ *N* x[1] *(Γ Vat. 1)*

1 *ἀνελεῖν* Bergl., *ἀνελών O* | ⟨*καὶ*⟩ add. Bergl. (qui *ἐπέταττεν ἀνελεῖν, καὶ φοράδην*) | *ἀπερᾶν—ἔπειτα*] om. x[1] | 2 *ἐπηνάγκασεν* Mein. (ed.), *ἀπηνάγκασεν O, ἠνάγκασεν* Wyttenb. | *ῥυῆναι φλέβα διατεμὼν*] *διατεμὼν φλέβα ῥυῆναι N* x[1] | 3 *οὐδὲν*] *οὐδὲ Ven.* | 4 *διαφθαρέντα*] post *ἀπολωλέναι* hab. x | 5 inducta delet addito ⟨*οἱ*⟩ Bergl., del. praeterea alterum *οἷα* Cob., *οἷα γὰρ οἷα οὐκ ἀνασχετὰ δὴ ἐκεῖνοι οἱ* Jacobs., *οἷα γὰρ οἷα πάσχειν οἱ Νικίαι* Reisk. | *λακκόπλουτοι*] *λακκόπλουτον* x | *εἰργάσαντο*] *εἰργάσατο Ven. Neap.*ᵃ | 6 *ἄλλος*] *ἄλλο Ven.* | 7 *κύτος*] *κῦτος N* x[1] | 8 *ἐνέσαττεν Harl.*, *ἐνέστατεν Ven.*, *ἐνέσαττεν* (τ supra σ) *Vat. 1*, *ἐνέταττεν* cet. | *κόπαιον N* x[1], *κώπαιον* cet., *κόπανον* Bergl., *πόπανον* Reisk. | *παρώθει*] *παρεώθει* Cob., at cf. III 19, 9 (*οὔρει*), IV 11, 4 | 10 *κερασάμενος* Seil., *ἐργασάμενος O, ὀργασάμενος* Mein. (ed.) | 11 *αὐτίκα*] *ἅτινα N* x[1] | *πιθάκνας*] *πιθάκνα N, πιθαίκας Vat. 1, πιθάκνια* Seil. | *ἐμῶν*] *ἐμημεκὼς N* x[1] | 12 *ποῦ*] *πῶς* Herch. (ed.) | 13 *ἐχώρησα—φορτόν* Bergl., *ἐχώρησε τοσούτων βρωμάτων φορτόν Ven. Neap.*ᵃ, idem sed *φορτός Harl.*, *ἐχώρησε τοσοῦτον ὁ τῶν βρωμάτων φορτόν N*, idem sed *φορτός Γ*, *ἐχώρησε τοσοῦτον τὸ σῶμα βρωμάτων φορτὸν Vat. 1,* add. *κώρυκος* Reisk., *ὁ στόμαχος* Seil.

δύνου φανερῶς ἐξείλοντο, ἐπ' ἐργασίαν τρέψομαι καὶ Πειραιεῖ βαδιοῦμαι τὰ ἐκ τῶν νεῶν φορτία ἐπὶ τὰς
6 ἀποθήκας μισθοῦ μετατιθείς. ἄμεινον γὰρ [ἐπὶ] θύμοις καὶ ἀλφίτοις διαβόσκειν τὴν γαστέρα, ὁμολογουμένην ἔχοντα τὴν τοῦ ζῆν ἀσφάλειαν, ἢ πεμμάτων ἀπολαύοντα καὶ φασιανῶν ὀρνίθων τὸν ἄδηλον ὁσημέραι θάνατον ἀπεκδέχεσθαι.

5 [III 8].

Οἰνοπνίκτης Κοτυλοβροχθίσῳ.

Ἴθι, λαβὼν τὴν σύριγγα καὶ τὰ κύμβαλα ἧκε περὶ πρώτην φυλακὴν τῆς νυκτὸς ἐπὶ τὸν χρυσοῦν στενωπὸν ἐπὶ τὴν Ἄγνον, ἔνθα συμβαλεῖν ἡμῖν ἐξέσται καὶ τὸ ἐντεῦθεν ἀπὸ Σκίρου λαβοῦσι Κλυμένην τὴν ἑταίραν ἀγαγεῖν παρὰ τὸν νεόπλουτον Θηριππίδην τὸν
2 Αἰξωνέα. διακαῶς δὲ αὐτῆς οὗτος ἐρᾷ πολὺς ἐξ οὗ

x *(Harl. Ven.) Neap.*ᵃ (hic usque ad III 5) *N* x¹ *(Γ Vat. 1)*

1 φανερῶς *N* x¹, φανέντες cet. | ἐργασίαν] ἐργασία *Neap.*ᵃ | 2 Πειραιεῖ—μετατιθείς] idem sed μετατιθοῖς (sic) *Ven.*, μετατεθείς *Harl.*, Πειραιεῖ—νεκρῶν—μεταθείς *Neap.*ⁿ, id. sed νεῶν *N*, Πειραιάδε—μετατιθείς Reisk., Πειραιοῖ—μετατιθείς Schäfer, idem sed μεταθήσων Seil., Πειραιοῖ [βαδιοῦμαι]—μεταθήσω Mein. (ed.) (qui deinde ἐπ' ἐργασίαν βαδιοῦμαι καὶ Πειραιοῖ—μεταθήσω), εἰς Πειραιᾶ—μεταθήσων Herch. (ed.) | 3 [ἐπὶ] delevi, ἔστι Herw. | 4 διαβόσκειν] ἐπιβόσκειν *Neap.*ᵃ | ὁμολογουμένην] ὡμολογημένην *Neap.*ᵃ x (ὁμολογημένην *Ven.*). Cf. II 13, 3 | 5 ἔχοντα—ἀπολαύοντα] ἔχοντι—ἀπολαύοντι *Neap.*ᵃ | 6 ὀρνίθων] fort. delendum

8 *Οἰνοπνίκτης* x, *Οἰνοπήκτης* cet., *Οἰνοπίπης* Seil., *Οἰνοπύκτης* Nauck. Cf. III 14 inscr. | 10 στενωπὸν Bergl., στεφιωπὸν *O*. Cf. IV 14, 7 | 11 ante ἐπὶ add. τὸν Reisk. | ἄγνον *Γ*, ἀγνὸν cet. | 12 ἑταίραν Seil. (ed.), ἑταῖραν *O* | 13 ἀγαγεῖν x, ἄγειν ἀγαγεῖν *Vat. 1*, ἄγειν cet. | παρὰ] περὶ x *Vat. 1* | Θηριππίδην x, τὸν Θηριππίδην cet. | τὸν] om. x | 14 αὐτῆς οὗτος] *ord. inv. Vat. 1* | οὗ] ὅτου *Ven.*

χρόνος, καὶ δαπανᾶται οὐκ ὀλίγα μάτην· ἠσθημένη γὰρ τὸν ἔρωτα ἐκκεκαυμένον τοῦ μειρακίου, θρύπτεται καὶ συνεχῶς ἀκκίζεται, καὶ πλείονα ἐπὶ πλείοσιν ἀποφερομένη οὔ φησιν ἑαυτὴν ἐπιδώσειν, εἰ μή τι χωρίον πρὸς τοῖς ἀργυρίοις λάβοι. ὥρα οὖν καὶ βίᾳ ταύτην, εἰ συνήθως ἀντιτείνοιτο ἡμῖν, ἀποσπᾶν. δύο δὲ ὄντε καὶ ἐρρωμένω τάχιστα αὐτὴν καὶ ἄκουσαν ἀπάξαι δυνησόμεθα. Θηριππίδης δὲ εἰ τοῦτο αἴσθοιτο 3 *καὶ τοὖργον ἐπιγνοίη τῆς ἡμετέρας ἀγρυπνίας κατόρθωμα, ληψόμεθα χρυσοῦς τοῦ νέου κόμματος οὐκ ὀλίγους καὶ λαμπρὰν ἐσθῆτα, καὶ προσέτι τὴν οἰκίαν εἰσιέναι ἐπ' ἀδείας ἕξομεν καὶ [τὸ] χρῆσθαι τὸ λοιπὸν ἀνεπικωλύτως. τάχα δὲ οὐδὲ παρασίτους ἡμᾶς ἀλλὰ φίλους ἡγήσεται· οἱ γὰρ παράκλησιν εἰς εὐποιίαν μὴ ἀναμείναντες οὐκέτι κόλακες ἀλλὰ φίλοι νομίζονται.*

x *(Harl. Ven.)* *N* (hic usque ad § 2 *ἐξ οὗ*) x¹ *(Γ Vat. 1)*

1 *μάτην—γὰρ*] *μάτην—δὲ Ven.*, unde *μὰ τήν—δὲ* Mein. | *ἠσθημένη*] *ἠσθομένη* (sic) *Harl.* | 2 *τὸν—μειρακίου*] *εἰς ἔρωτα ἐκκεκαυμένον τὸ μειράκιον* cl. III 31, 1 Stang. | 5 *ἐπιδώσειν*] *ἐπιδοῦναι* x | 4 *τι* Nab., *τὸ O* | 5 *χωρίον*] *χρυσίον* Nab. | 6 *ἀντιτείνοιτο Vat. 1*, *ἀνατείνοιτο* cet | 7 *τάχιστα—δυνησόμεθα* x (*ἀπᾶξαι Ven.*), om. *δυνησόμεθα* x¹, unde *τάχιστα—ἀπάξαιμεν* Bergl. (ed.), *τάχιστ' ἂν—ἀπάξαιμεν* Lobeck., *τάχιστ' ἂν—ἁρπάξαιμεν* Cob., *τάχιστα αὐτὴν κἂν ἄκουσαν ἀπαγάγοιμεν* Herch. (ed.), proponit *ἀπαράξαι* vel *ἀπαλλάξαι* Pol. | 8 *Θηριππίδης*] *Θηριππίδη ως* (sic) *Ven.*, unde *Θηριππίδη· ὁ δὲ* vel *Θηριππίδη· ὥστε* Mein. | 10 *κόμματος* Hemst., *σκέμματος O* (*σκέματος Ven.*) | 12 [*τὸ*] del. Mein. (ed.), *αὐτῷ* Hirsch. | 14 *εὐποιίαν*] *εὐπονίαν Vat. 1* | 15 *ἀναμείναντες*] *ἐπιμείναντες* x | *νομίζονται* Mein., *λογίζονται O*

6 [III 42].

Ῥαγοστράγγισος Στεμφυλοδαίμονι.

Ἄρδην ἀπόλωλά σοι· ὁ γὰρ χθὲς εὐπάρυφος, πινα-
ροῖς, ὡς ὁρᾷς, καὶ τρυχίνοις ῥακίοις τὴν αἰδῶ περισκέπω.
ἀπέδυσε γάρ με Παταικίων ὁ παμπόνηρος, ὃς τὰ κέρ-
ματά με — εἶχον δέ, ὡς οἶσθα, ὑπόσυχνον ἀργύριον
— δεξιαῖς χρώμενος ταῖς καλινδήσεσι τῶν κύβων ἄχρι
2 δραχμῶν καὶ ὀβολῶν ἀπεσύλησεν. ἐξὸν δέ μοι παρι-
δεῖν ὅσον ἐζημιώθην, εἶτ' ἀθῴῳ γενέσθαι τοῦ πλείονος,
ἐκ τῆς κατ' ὀργὴν ἔριδος τὴν εἰς τοὔσχατον ὑπέμεινα
βλάβην· καθ' ἓν γὰρ ἕκαστον τῶν ἱματίων ἐκ προκλή-
σεως ἀποτιθείς, τέλος ἁπάντων ἐψιλώθην τῶν ἐνδυμά-
των. ποῖ δὴ οὖν βαδιστέον; χαλεπῶς γὰρ καὶ λάβρως
ἐπαιγίζων ὁ βορρᾶς δίεισί μου τῶν πλευρῶν ὥσπερ
3 βέλος. ἐς Κυνόσαργες ἴσως οἰχητέον. ἢ γάρ τις τῶν
ἐκεῖ νεανίσκων κατοικτείρας ἀμφιάσει με ἱματίοις, ἢ
καταλήψομαι ἐγγύθεν τὰς καμίνους καὶ τῷ πυρὶ ὁ
δύστηνος θάλψομαι· τοῖς γὰρ γυμνοῖς σισύρα καὶ
ἐφεστρὶς ἡ φλὸξ [καὶ τὸ ἐκ τῆς εἵλης θέρεσθαι].

x *(Harl. Ven.) Neap.*ᵃ x¹ *(Γ Vat. 1)*

1 Ῥαγοστράγγισος] Ῥαγαστράγγισος *Γ*, Ῥαγγοστράγγισος *Vat. 1*, Ῥαγησιράπισος Reisk. | Στεμφυλοδαίμονι] Σταφυλοδαίμονι *Vat. 1*, Σταφυλολυμεῶνι Reisk,, Σταφυλοθλίβωνι Valck., Σταφυλοδηλήμονι Seil. | 2—3 εὐπάρυφος—ὡς ὁρᾷς] ὡς ὁρᾷς εὐπάρυφος παναροῖς x¹, idem sed ὡς ἑώρας Seil., del. ὡς ὁρᾷς Stang., sed cf. v. c. I 8, 2 | 3 τρυχίνοις Maehl., τριχίνοις *O*. Cf. IV 9, 2 | ῥακίοις—περισκέπω] ῥάκεσι καλύπτω τὴν αἰδῶ x¹ | 7 δέ] om. *Neap.*ᵃ x¹ | 10 προκλήσεως] προκλίκεως (sic) *Neap.*ᵃ | 11 ἀποτιθείς] ἐκτιθεὶς Nab. | 12 χαλεπῶς—λάβρως] χαλεπὸς—λάβρος cl. Il. Π 148 Pol. | 13 μου x, μοι cet. | 15 κατοικτείρας] ἐποικτείρας x¹ | 16 ἐγγύθεν τὰς] inv. ord. Bergl. | 18 [καὶ—θέρεσθαι] del. Herch. (ed.). Pro εἵλης hab. ἕλης *Neap.*ᵃ, ὕλης x¹

7 [III 43].

Ψιχοκλά[υ]στης Βουκίωνι.

Τῇ προτεραίᾳ ξυράμενοι τὰς κεφαλὰς ἐγὼ καὶ Στρου-
θίας καὶ Κύναιθος οἱ παράσιτοι, λουσάμενοι εἰς τὸ
ἐν Σηραγγείῳ βαλανεῖον, ἀμφὶ τὴν πέμπτην ὥραν
δρόμον ἀφέντες εἰς τὸ προάστειον τὸ Ἀγκυλῆσι τὸ
Χαρικλέους τοῦ μειρακίου ᾠχόμεθα, ἔνθα αὐτός τε 2
ἀσμένως ὑπεδέξατο φιλόγελώς τε ὢν καὶ φιλαναλώ-
της, ἡμεῖς τε διατριβὴν αὐτῷ καὶ τοῖς συμπόταις παρ-
έσχομεν, παρὰ μέρος ἀλλήλους ἐπιρραπίζοντες καὶ ἀνά-
παιστα εὔκροτα ἐπιλέγοντες αὐτοσκωμμάτων ἀλυκῶν
καὶ αὐτοχαρίτων ἀστεϊσμῶν αἱμυλίας γέμοντα. ἐν 3
τούτῳ δέ, ἱλαρώτατα καὶ εὐφροσύνως διακειμένου τοῦ

x *(Harl. Ven.)* *Neap.*^{a} x^1 *(Γ Vat. 1)*

1 [υ] del. Valck., Ψῖχοκλαύστης *Neap.*^{a}, Ψυχοκλαύστης x, Ψιχοκναύστης Reisk., Ψιχοκάπτης Metr. | de Βουκίωνι vid. III 24 inscr. | 2 Στρουθίας] Στρουθίων x^1. Cf. Menandr. Rell. p. 99 | 3 Κύναιθος] Κίναιθος *Γ* | οἱ παράσιτοι] ὁ/οἱ παράσιτοι/ος *Harl.*, οἱ παρασίτοι ος (sic) *Ven.*, ὁ παράσιτος *Neap.*^{a}, οἱ παρὰ Τίσιδος Mein., del. Keil., at cf. II 32, 1 | εἰς τὸ et βαλανεῖον] del. Herch. (ed.) | 4 Σηραγγείῳ] Σηραγγίῳ x, Συραγγίῳ *Neap.*^{a} | τὴν] om x^1 | 5 Ἀγκυλῆσι Seil. (ed.), Ἀγκύλης *O* (Ἀγγύλης *Ven.*), Ἀγγελῆσι vel Ἀγρυλῆσι Bergl. | τὸ] εἰς Seil. | 6 μειρακίου] μειρακίσκου x^1 | τε] om. *Neap.*^{a} | ἀσμένως] ἄσμενος Cob., sed cf. III 30, 2 | 7 ὑπεδέξατο] ἐδέξατο x | φιλαναλώτης Ryckius, φιλαναλωτὴς *O* (φιλαναλωτῆς *Ven.*, φιλαναλωτὴρ *Neap.*^{a}) | 8 τε] δὲ *Neap.*^{a} | καὶ] τε καὶ x^1 | 9 παρὰ μέρος Seil. (ed.), παρὰ μέρους *Neap.*^{a}, παραμέρος cet. | ἐπιρραπίζοντες] ἐπιρριπίζοντες Reisk. | 10 αὐτοσκωμμάτων] αὐτῷ σκωμμάτων x^1, del. αὐτο Lobeck., αὐτοῖς σκωμμάτων Mein. (ed.) | ἀλυκῶν] ἀστικῶν Hemst. | 11 αὐτοχαρίτων] αὐτοχθόνων Hemst. | ἀστεϊσμῶν Mein., ἀττικῖν (sic) *Ven.*, ἀττικῶν cet., Ἀττικῆς Valck., del. Ruhnk., σκωμμάτων Ἀττικῶν καὶ αὐτοχαρίτων Mein. | αἱμυλίας x^1, καὶ αἱμυλίας cet. | 12 δέ,—εὐφροσύνως *Γ* (qui quidem ἱλαρότατα), δι' ἱλαρότητος καὶ εὐφροσύνης *Vat. 1*, δὲ εὐφροσύνης καὶ ἱλαρότητος cet., δέ, ἱλαρότητι καὶ εὐφροσύναις διακεχυμένου

*συμποσίου, ἐπέστη ποθὲν Σμικρίνης ὁ δύστροπος καὶ
δύσκολος· εἵπετο δ' αὐτῷ πλῆθος οἰκετῶν, οἳ δραμόν-*
4 *τες ἐφ' ἡμᾶς ὥρμησαν. αὐτὸς δὲ ὁ Σμικρίνης πρῶτον
μὲν τῇ καμπύλῃ παίει τὸν νῶτον τοῦ Χαρικλέους,
ἔπειτα ἐπὶ κόρρης πατάξας ἦγεν ὡς ἔσχατον ἀνδρα-
πόδων. ἡμεῖς δὲ νεύματι μόνῳ τοῦ πρεσβύτου εἰς
τοὐπίσω τὰς χεῖρας ἐστρεβλούμεθα· τὰ δὲ μετὰ ταῦτα
ξήνας ἡμᾶς ὑστριχίσιν οὐκ ὀλίγας οὐδ' εὐαριθμήτους,
τέλος ἀγαγὼν εἰς τὸ δεσμωτήριον ἀπέθετο ⟨ὁ⟩ ἄγριος*
5 *γέρων. καὶ εἰ μὴ συνήθης ὢν καὶ πολλὰ καθηδυπα-
θήσας μεθ' ἡμῶν ὁ χαρίεις Εὐθύδικος, ἀνὴρ ἐν τοῖς
πρώτοις τοῦ συνεδρίου τῶν Ἀρεοπαγιτῶν, ἀνέῳξεν
ἡμῖν τὸ δεσμωτήριον, τάχ' ἂν καὶ τῷ δημίῳ παρεδό-
θημεν. οὕτως ὁ δριμὺς γέρων καὶ πικρὸς ἐνεπίμπρατο
καθ' ἡμῶν, καὶ πάντα ἔπραττεν ὡς ἂν τὴν ἐπὶ θανά-
τῳ ἴσα τοῖς ἀνδροφόνοις καὶ ἱεροσύλοις ἀπαχθείημεν.*

x *(Harl. Ven.) Neap.*ª x¹ *(Γ Vat. 1)*

Herm. | 1—2 *καὶ δύσκολος*] om. x *Neap.*ª | 3 *πρῶτον*] *πρῶτα* x¹ | 4 *τὸν*] *τὸ* Pierson. | *τοῦ Χαρικλέους*] *τὸν Χαρικλέα* Cob. | 5 *ἔπειτα* x, *ἔπειτα δὲ* cet. | *ἀνδραπόδων* Cob., *ἀνδράποδον O* | 7 *ἐστρεβλούμεθα* x¹, *ἐδεσμούμεθα* cet. | 8 *ὑστριχίσιν Neap.*ª, *ὑστριχίνδι* (sic) *Harl.*, *ὑστριχίδι* cet. | *ὀλίγας οὐδ' εὐαριθμήτους* Mein., *ὀλίγαις οὐδ' εὐαριθμήτοις O*, del. *οὐκ ὀλίγας* Cob. | 9 ante *τέλος* add. *μάστιξι* x¹ | ⟨*ὁ*⟩ add. Bergl. (ed.) | 10 *πολλὰ καθηδυπαθήσας*] *πολλάκις ἡδυπαθήσας* Cob., *πολλὰ καὶ ἡδυπαθήσας* Herm. | 11 *Εὐθύδικος*] *Εὔδημος* x¹ | 12 *συνεδρίου*] *συμποσίου* x¹ | 13 *δημίῳ*] *δήμῳ Vat. 1* | 14 *ἐνεπίμπρατο Neap.*ª, *ἐπίμπρατο* cet. | 15 *θανάτῳ*] *τῷ θανάτῳ* x, *θάνατον Vat. 1* | 16 *ἴσα*] *ἶσα Vat. 1*

8 [III 44].

Γνάθων Λει[σ]χοπίνακι.

Ἡμῶν ὡς Μεγαρέων ἢ Αἰγιέων οὐδεὶς λόγος, εὐ-
δοκιμεῖ δὲ τὰ νῦν Γρυλλίων μόνος καὶ κατέχει τὸ
ἄστυ, καὶ πᾶσα αὐτῷ καθάπερ Κράτητι τῷ Θήβηθεν
κυνὶ ἀνέῳγεν [ἡ] οἰκία. ἐμοὶ δοκεῖν, Θετταλίδα τινὰ
γραῦν ἢ Ἀκαρνανίδα φαρμακεύτριαν πεπορισμένος
καταγοητεύει τοὺς ἀθλίους νεανίσκους. τί γὰρ καὶ 2
στωμύλον ἔχει; τί δὲ ὁμιλητικὸν καὶ ἡδὺ φέρει; ἀλλ'
ἴσως εὐμενεστέροις ὄμμασιν ἐκεῖνον εἶδον αἱ Χάριτες,
ὡς τοὺς μὲν ἀπομύττεσθαι πρὸς αὐτοῦ, ἡμᾶς δὲ ἀγα-
πᾶν εἰ τὰς ἀπομαγδαλίας ὡς κυσί τις παραρρίψειε.
τάχα δὲ οὐ γόης, ἀλλὰ τύχῃ κέχρηται δεξιᾷ. [τύχη 3
γὰρ παρὰ πάντα ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα.]
οὐδὲν γὰρ ἐν ἀνθρώποις γνώμη, πάντα δὲ τύχη, καὶ
ταύτης ὁ τυχὼν ἡδὺς ἔστι καὶ νομίζεται.

9 [III 45].

Τραπεζολείκτης Ψιχίωνι.

Ἤλγησα, ὦ καλὲ Ψιχίων, ἀκούσας τὴν συμβᾶσάν
σοι περὶ τὸ πρόσωπον συμφοράν. εἰ δὲ καὶ τοῦτον

x *(Harl. Ven.)* (inde a III 9) *Neap.*[a] (inde a III 9) x[1] *(Γ Vat. 1)*

1 [σ] del. Bergl. (ed.), *Λοχοπίνακι Γ* | 2 *Αἰγιέων* Bergl. (ed.), *Αἰγινητῶν* x[1]. Cf. v. c. Plut. Symp. 682f. | 3 *κατέχει*] *κατάρχει Vat. 1* | *τὸ ἄστυ* Bergl., *τοῦ ἄστεος* x[1] | 5 *κυνὶ* Herel., *κοινῇ* x[1], *κοινὴ* Bergl. (ed.), del. Hirsch. | [ἡ] exp. Cob. | 6 *Ἀκαρνανίδα Γ*, *Ἀκαρνίδα Vat. 1* | 7 *καταγοητεύει*] *καταγοητεύειν Vat. 1* | 8 *φέρει*] del. Hirsch. | 12—13 [*τύχη—πράγματα*] del. Kühn., del. *παρὰ* Cob., sed videntur haec ex Dem. Ol. II 22 adscr. ad sqq.

16 *Τραπεζολείκτης*] *Τραπεζολείχων Γ*, *Τραπεζολείων Vat. 1* | *Ψιχίωνι* scripsi cl. § 1, *Ψιχοδιαλέκτῃ O* (*Ψυχοδιαλέκτῃ Ven.*) *Ψιχοδιαλείκτῃ* Seil., *Ψιχοκλέπτῃ* Mein., *Ψιχιδιολείκτῃ* Nab., *Ψιχιοδιαλέκτῃ* Nauck. | 17 *Ψιχίων*] *Ψιχίον* Neap.[a]

ἐγένετο τὸν τρόπον ὃν διηγήσατο ἡμῖν ἐπανελθοῦσα
τοῦ συμποσίου ἡ Λειριόνη — λέγω δὴ τὴν παιδίσκην
Φυλλίδος τῆς ψαλτρίας — πόλεμον ὑπέστης καὶ πόρ-
2 *θησιν καινὴν ἄνευ μηχανῆς καὶ ἑλεπόλεως. ἀκούω*
γὰρ τὸν καταπύγονα καὶ θηλυδρίαν περικατεάξαι σοι
τὴν φιάλην, ὡς τὰ θραύσματα λωβήσασθαί σου τήν τε
ῥῖνα καὶ τὴν δεξιὰν σιαγόνα, καὶ τοῦ αἵματος ἐνεχθῆ-
ναι κρουνούς, οἵους ὕδατος αἱ ἐν Γερανείᾳ πέτραι
3 *σταλάττουσι. τίς ἔτι ἀνέξεται τῶν κακοδαιμόνων του-*
τωνί, τοσούτου τὸ γαστρίζεσθαι πωλούντων; ὠνούμεθα
γὰρ κινδύνου τὸ ζῆν, καὶ τὸν ἐκ λιμοῦ θάνατον δε-
διότες τὴν μετὰ κινδύνου πλησμονὴν ἀσπαζόμεθα.

10 [III 46].

Στεμφυλοχαίρων Τραπεζοχάροντι.

Ὡς εὐτυχῶς, ὡς μακαρίως πέπραγα. ἐρήσῃ με ἴσως

x *(Harl. Ven.) Neap.*^{a} x^1 *(Γ Vat. 1)*

2 *τοῦ*] *ἐκ τοῦ* Cob., sed ita Alc. passim. | *ἡ Λειριόνη* scripsi, *ἡ Ληριόνη Harl.*, *Λειριόνη* x^1, *Ληριόνη Ven.*, *Ἡλεικτριόνη* (sic) *Neap.*^{a}, *Δηρινόη* Herch. (ed.), *Λειριώνη* H. Steph. s. v. *Λήριον* | *δὴ*] *δὲ Vat. 1* | *τὴν*] om. x | 4 *καινὴν* Reisk., *ἱκανὴν O* | *καὶ*] om. *Neap.*^{a} | 5 *καταπύγονα* Lobeck., *καταπύγωνα O* | *περικατεάξαι*] *περικατᾶξαί* Mein. (ed.) | *σοι* Bergl., *σου O* | 6 *θραύσματα* x^1, *τραύματα* cet., *θραύματα* Mein. (ed.) | *λωβήσασθαί σου* x^1, *λογίσασθαί σου Neap.*^{a}, *σου λωβήσασθαι* x (*λωβίσασθαι Ven.*), *ἀλοήσασθαί σου* Boissonad., *λωβήσασθαί σοι* Bergl. (ed.) | *τε*] om. Bergl. (ed.) | 7 *ἐνεχθῆναι*] *ἀναχθῆναι* x^1, unde *ἀναχυθῆναι* Bergl. | 8 *αἱ*] om. x *Neap.*^{a} | *Γερανείᾳ*] *γὰρ ἀνίᾳ* x^1 | 9 *σταλάττουσι*] *σταλάζουσι* x. Cf. IV 13, 4 | *ἀνέξεται Neap.*^{a}, *ἀνέχεται* x, *ἀνθέξεται* x^1 | *τουτωνί* Hemst., *τούτων εἰ* x^1, om. *εἰ* cet. | 10 *τὸ*] *τοῦ Γ* | interr. sign. posuit Hemst. | 11 *γὰρ*] om. x^1

13 *Στεμφυλοχαίρων*] *Στεμφυλοχάρων* Herch. (ed.), at cf. III 30, III 36 | *Τραπεζοχάροντι*] *Τραπεζοχάρωντι* x, *Τραπεζοχάρητι Neap.*^{a} | 14 *εὐτυχῶς*] *εὐτυχῶ* Cob. | *πέπραγα*] *πέπραχα* x *Neap.*^{a} | *ἴσως*] ante *ἐρήσῃ* hab. x^1

τίνα τρόπον, ὦ βέλτιστε Τραπεζοχάρων. ἐγὼ δῆτά σοι
φράσω καὶ πρὶν ἐρέσθαι. ἦγε μὲν ἡ πόλις, ὡς οἶσθα,
τὴν Κουρεῶτιν [ἑορτήν]· ἐγὼ δέ, παραληφθεὶς ἐπὶ δεῖ-
πνον [τέρπειν], ὠρχούμην τὸν κόρδακα. οἱ δαιτυμόνες 2
δὲ ἐκ φιλονεικίας ἔπινον, ἕως, τῆς ἁμίλλης εἰς ἄπειρον
προχωρούσης, κῶμα κατέσχε τὸ συμπόσιον καὶ πάντας
ὕπνος ὑπειλήφει νυστακτὴς ἄχρι καὶ αὐτῶν τῶν οἰκε-
τῶν· ἐγὼ δὲ περιέβλεπον μὲν εἴ τι τῶν ἀργυρῶν 3
σκευῶν ὑφελέσθαι δυναίμην· ὡς δὲ ταῦτα ἔτι νηφόν-
των ἐξ ὀφθαλμῶν ἐγεγόνει καὶ ἦν ἐν ἀσφαλεῖ, τὸ
χειρόμακτρον ὑπὸ μάλης λαβὼν ἐξηλλόμην ὡς ἐν τῇ
φυγῇ τοῖν διαβάθροιν θάτερον ἀποβαλεῖν. ὅρα δέ, 4
ὡς ἐστι πολυτελές, ὀθόνης Αἰγυπτίας καὶ ἁλουργοῦ
πορφύρας τῆς Ἑρμιονίδος λεπτὸν εἰς ὑπερβολὴν καὶ
πολύτιμον ὕφασμα. εἰ τοῦτο ἀδεῶς ἀπεμπολήσαιμι,
γαστριῶ σε ἀγαγὼν ἐπὶ τὸν πανδοκέα Πιθακ⟨ν⟩ίωνα.
πολλὰς γὰρ ὁμοῦ πολλάκις παροινίας ἀνέτλημεν, καὶ
χρή σε τὸν κοινωνὸν τῶν δυστυχημάτων μερίτην γενέ-
σθαι καὶ τῆς εὐτυχούσης ἡμέρας.

x (*Harl. Ven.*) *Neap.*^{a} x^1 (*Γ Vat. 1*)

1 βέλτιστε] om. x^1 | Τραπεζοχάρων Cob., Τραπεζόχαρθν *O* | δῆτα] δὴ *Vat. 1*, δὲ *Γ*. Cf. I 13, 2 | 2 ἐρέσθαι] ἔρεσθαι x^1, ἐρεῖσθαι *Neap.*^{a} | 3 [ἑορτήν] expunxi, ἡμέραν Bergl. (ed.) | 4 [τέρπειν] del. Cob. | 5 ἁμίλλης] ἀμύνης x^1, unde ἀμύστιδος Hemst. | 6 κῶμα] κόμα *Ven.*, κῶμος x^1 | 7 ὕπνος] om. *Neap.*^{a} | ὑπειλήφει] ὑπείληφε *Neap.*^{a} | 8 μὲν] om. *Neap.*^{a} | 9 ὑφελέσθαι] ὑφαλέσθαι *Ven.* | 11 ὑπὸ μάλης] ὑπ' ἀγκάλης *Neap.*^{a} | ante ὡς ponit lac. sign. Mein. (ed.) supplens ⟨καὶ τοσοῦτον ἠπειγόμην⟩, del. ὡς—ἀποβαλεῖν Herch. (ed.) | 12 τοῖν διαβάθροιν] τοῖν διαβάθροις *Ven.*, τῶν διαβάθρων x^1 | θάτερον Reisk., ἅτερον x^1, ἕτερον cet. | ὅρα] ὅσα *Vat. 1*, ἄρα *Ven.* | 13 πολυτελὲς ὀθόνης] πολυτελέστερον σινδόνης x (σινδόνες *Harl.*), πολυτελέστερον ὀθόνης Herch. (ed.), mavult σινδόνος cl. I 15, 2 III 30, 2 Mein. | 14 εἰς x, ἐπὶ cet. | 15 πολύτιμον] πολυτίμητον x, πολύμιτον Jahn. | ὕφασμα] om. x *Neap.*^{a} | 16 ⟨ν⟩ add. Cob. | 18 κοινωνὸν] κοινὸν *Neap.*^{a} | μερίτην] συμμερίτην Neap.^{a} Cf. I 20, 2

11 [III 47].

Ὡρολόγιος Λαχανοθαυμάσῳ.

Ἑρμῆ κερδῷε καὶ ἀλεξίκακε Ἡράκλεις, ἀπεσώθην. οὐδὲν ⟨ἂν⟩ δεινὸν ἔτι γένοιτο. προχόην ὑφελόμενος ἀργυρᾶν Φανίου τοῦ πλουσίου δρόμῳ δοὺς φέρεσθαι — ἦν γὰρ ἀωρία τῆς νυκτός — ἠπειγόμην σώζειν
2 *ἑαυτόν. κύνες δὲ ἐξαίφνης οἰκουροὶ περιχυθέντες ἄλλος ἀλλαχόθεν χαλεποὶ καὶ βαρεῖς τὴν ὑλακὴν ἐπῄεσαν Μολοττοὶ καὶ Κνώσιοι, ὑφ' ὧν οὐδὲν ἐκώλυσέ με ὡς ἠδικηκότα τὴν Ἄρτεμιν διεσπάσθαι μέσον, ὡς μηδὲ τὰ ἀκρωτήρια εἰς τὴν ὑστεραίαν περιλειφθῆναι πρὸς ταφὴν*
3 *τοῖς ἑτοίμοις εἰς ἔλεον καὶ συμπάθειαν. εὑρὼν οὖν ὑδρορρόον ἀνεῳγότα οὐκ εἰς βάθος ἀλλ' ἐπιπολῆς, [καὶ] ὑποδὺς εἰς τοῦτον κατεκρύβην. ἔτι σοι ταῦτα τρέμων καὶ παλλόμενος λέγω. ἑωσφόρου δὲ ἀνασχόντος τῶν μὲν ᾐσθόμην οὐκέθ' ὑλακτούντων — οἴκοι γὰρ πάντες ἐδέδεντο — αὐτὸς δὲ εἰς Πειραιᾶ δραμὼν νηὶ Σικελικῇ λύειν μελλούσῃ τὰ πρυμνήσια περιτυχὼν ἀπεδόμην*

x *(Harl. Ven.) Neap.*ª x¹ *(Γ Vat. 1)*

3 *οὐδὲν*] *οὐδὲ* x | ⟨*ἂν*⟩ add. Mein. | *ὑφελόμενος*] *ὑφελόμενοι Neap.*ª | 4 *ἀργυρᾶν*] om. x *Neap.*ª | *δρόμῳ δοὺς φέρεσθαι*] om. x *Neap.*ª | 5 *ἀωρία*] *ἀωρὶ* Nauck. | post *νυκτός* add. *μεσούσης* x¹ | *ἠπείγομην* x¹, *καὶ ἠπειγόμην* cet., *κατηπειγόμην* Mein. | 6 *ἑαυτόν*] *ἐμαυτόν* x¹ | 7 *τὴν—ἐπῄεσαν*] om. *Neap.*ª, om. *ἐπῄεσαν* x | 8 *Μολοττοὶ*] *Μολοττικοὶ* x | *ἐκώλυσέ*] *ἐκώλυέ* x¹ | 8—9 *ὡς—Ἄρτεμιν*] del. Herw. | 9 *διεσπάσθαι Γ*, *διεσπᾶσθαι* (sic) cet., *διασπᾶσθαι* Wagn. (ed.), sed cf. III 4, 2 | 10 *ἀκρωτήρια* Bergl., *ἀκροθίνια O* | *εἰς τὴν ὑστεραίαν* x¹, *τῇ ὑστεραίᾳ* cet. | *πρὸς* x¹, *εἰς* cet. | 12 *ὑδρορρόον* Bergl., *ὑδρορρόαν O* (*ὑδρορρόων Vat. 1*) | *ἐπιπολῆς*] *ἐπιπολὴς Harl.*, *ἐπιπολὺ Neap.*ª, *ἐπιστολὴς Ven.* | [*καὶ*] del. Herch. (ed.) | 15 *ᾐσθόμην οὐκέθ' Neap.*ª, *ᾐσθόμην οὐθ'* x, *οὐκ ᾐσθόμην οὐκέθ'* x¹, *οὐκ ᾐσθόμην ἔθ'* Hemst., *οὐκ ᾐσθόμην οὐδ'* Mein. | *πάντες* x, *πάντως* cet. | 16 *Πειραιᾶ δραμὼν*] *Πῦρ ἀναδραμὼν* (sic) Ven.

τῷ ναυκλήρῳ τὴν προχόην. καὶ νυνὶ τὸ τίμημα ἔχων 4 νένασμαι τοῖς κέρμασι καὶ νεόπλουτος ἐπανελήλυθα, καὶ τοσοῦτον ῥιπίζομαι ταῖς ἐλπίσιν, ὡς ἐπιθυμεῖν κόλακας τρέφειν καὶ κεχρῆσθαι παρασίτοις, οὐ παρασιτεῖν αὐτός. ἀλλ' ἣν τουτὶ τὸ πορισθὲν ἀργύριον ἀπαναλώσω, πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐπιτήδευσιν τρέψομαι· οὐδὲ γὰρ κύων σκυτοτραγεῖν μαθοῦσα τῆς τέχνης ἐπιλήσεται.

12 [III 48].

Κεφαλογλύπτης Μαππαφανίσῳ.

Κακὸς κακῶς ἀπόλοιτο καὶ ἄφωνος εἴη Λικύμνιος ὁ τῆς τραγῳδίας ὑποκριτής. ὡς γὰρ ἐνίκα τοὺς ἀντιτέχνους Κριτίαν τὸν Κλεωναῖον καὶ Ἵππασον τὸν Ἀμβρακιώτην τοὺς Αἰσχύλου Προπομποὺς τορῷ τινι καὶ γεγωνοτέρῳ φωνήματι χρησάμενος, γαῦρος ἦν καὶ κιττοστεφὴς ἦγε συμπόσιον. ἔνθα παραληφθεὶς φεῦ 2 τῶν κακῶν οἷα ὑπέμεινα, τοῦτο μὲν πιττούμενος τὴν κεφαλὴν καὶ γάρῳ τοὺς ὀφθαλμοὺς ῥαινόμενος, τοῦτο δὲ ἀντὶ πλακοῦντος, τῶν ἄλλων ἄμητας ἐσθιόντων καὶ

x (*Harl. Ven.*) *Neap.*ᵃ x¹ (*Γ Vat. 1*)

1 ναυκλήρῳ] ναυκλήρων *Ven.* | νυνὶ Mein. (ed.), νύνι (sic) x, νῦν cet. | 3 ὡς] ὥστ' Cob. | 4 κεχρῆσθαι] χρῆσθαι Cob. | 6 ἀπαναλώσω] ἐπαναλώσω x, καταναλώσω Cob. | 7 οὐδὲ Seil. (ed.), οὔτε *O* | σκυτοτραγεῖν μαθοῦσα] ord. inv. *Neap.*ᵃ | 8 ἐπιλήσεται] ἐπιλήθεται Herch. (ed.)

9 Κεφαλογλύπτης Seil., Ἐφελογλύπτης *O*, Νεφελογλύπτης Bergl., Φλοιογλύπτης Herel. | Μαππαφανίσῳ] Μαπαφανίσῳ *Ven.*, Ματταφανίσσῳ *Neap.*ᵃ, Μαππαφασίῳ *Γ*. Cfrt Martial. XII 29, 11 Seil. | 10 κακὸς κακῶς Bergl., κακεγκάκως *Neap.*ᵃ, κακηγκάκως cet. (γ man. rec. *Γ*) | ἄφωνος x¹, ἄχορος x, ἄχωρος *Neap.*ᵃ. Cf. sqq. | 13 Αἰσχύλου] Αἰσχύλους x | τινι] τε Herch. | 14 γεγωνοτέρῳ] γεγωνῶτερῳ (sic) *Harl.*, γετονῷ τῷ (sic) Ven., γεγωνῷ τῷ *Neap.*ᵃ | 15 ἦγε] καὶ ἦγε x Neap.ᵃ | 16 πιττούμενος] πεττούμενος *Vat. 1*, πεκτούμενος Bergl. | 18 ἄμητας] ἄμιτας Neap.ᵃ

σησαμοῦντας, αὐτὸς μέλιτι δεδευμένους λίθους ἀπο-
3 *τρώγων. ἡ πασῶν δὲ ἰταμωτάτη, τὸ ἐκ Κεραμεικοῦ*
πορνίδιον, ἡ μέτοικος ἡ Φενεᾶτις, Ὑακινθίς, κύστιν
αἵματος πληρώσασα καταφέρει μου τῆς κεφαλῆς, καὶ ὁμοῦ
4 *τῷ κτύπῳ ⟨ἐ⟩λελούμην τῷ αἵματι. καὶ τῶν μὲν εὐωχου-*
μένων πολὺς καὶ καπυρὸς ἐξεχύθη γέλως, ἐγὼ δὲ ὧν
ἔπαθον μισθὸν οὐκ ἀπηνεγκάμην ἄξιον, ἀλλά μοι γέ-
γονε τῶν ὕβρεων ἀμοιβὴ τὸ μέτρον τῆς γαστρός, πέρα[ς]
5 *δὲ οὐδέν. μήτε οὖν ἐς νέωτα μήτε μὴν νικῴη ὁ θεοῖς*
ἐχθρὸς Λικύμνιος, ὃν ἐγὼ τῆς ἀχαρίστου φωνῆς ἕνεκεν
ὀρθοκόρυζον καλεῖσθαι πρὸς ἡμῶν καὶ τοῦ χοροῦ τῶν
Διονυσοκολάκων ἔκρινα.

13 [III 49].

Καπνοσφράντης Ἀριστομάχῳ.

Ὦ δαῖμον, ὅς με κεκλήρωσαι καὶ εἴληχας, ὡς πονη-

x *(Harl. Ven.) Neap.*^{a} x^1 *(Vat. 1)*

1 *ἀποτρώγων* Mein., *ἀπέτρωγον* x, *ἀπέτραγον* cet. | 2 *δὲ*] om. *Neap.*^{a} | 3 *Φενεᾶτις* Seil. (ed.), *Φενεάτις* *Neap.*^{a} x (*φενεάτης Ven.*), *Φαινεάτις* x^1 | *Ὑακινθίς* Bergl. (ed.), *Ὑακινθός* *Neap.*^{a}, *Ὑάκινθος* cet. | 4 *πληρώσασα* x^1, *πλήσασα* cet. | 5 ⟨*ἐ*⟩ add. Herch. | 6 *πολὺς—γέλως*] *πολὺς ὑπάρχων ὁ θόρυβος περιεβόμβει τὸ δῶμα* x *Neap.*^{a}, ad quae cfrt Od. X 398, 454 Seil., deinde scribens *πολὺς—γέλως* ⟨*καὶ*⟩ *πολὺς—δωμάτιον* | 8 [ς] del. Bergl. (ed.) | 9 *μήτε—νικῴη*] *μήτε οὖν ἐς νέωτα εἴη μήτε μὴν βιῴη* x^1. Requirit *μὴ οὖν ὥρασιν ἵκοιτο* Bergl., *μητ᾽ ἐπιβιῴη* Hemst., *μήτε οὖν ἐς νέωτα μήτε νῦν νικῴη* Nauck. (at jam vicit Licymnius!), *μὴ οὖν ἐς νέωτα, εἰ καὶ νῦν, νικῴη* Pol., *μήτε οὖν ἐς νέωτα ἔτι μήτε μὴν* ⟨*ὕστερον*⟩ *νικῴη* Herw. | 10 *ἀχαρίστου*] *ἀχαρίτου* Cob. | 11 *ὀρθοκόρυζον*] *ὀρθοκόρυδον* Bergl., *ὀρθιοκόρυδον* Seil., *κρονοκόρυζον* Reisk., *ἀρχοκόρυζον* Gloss. Eichst., *ὀρνιθοκόρυδον* Maehl., *αὐτοκόρυδον* vel *ὀρφεοκόρυδον* Mein. An *ὀρθιόκρῳζον*? | *καλεῖσθαι*] *καλὸν ἆσθαι* (sic) *Ven.*, unde *καλῶν* ⟨*χάριν οἴσ*⟩*εσθαι* Mein. | *πρὸς*] *παρ᾽* x *Neap.*^{a} | *ἡμῶν*] *ὑμῶν* *Neap.*^{a} | *ἔκρινα*] *ἔκρινον* x | 12 Post *ἔκρινα* add. *ἔρρωσο* x^1

14 *κεκλήρωσαι καὶ*] del. Cob.

ῥὸς εἶ καὶ λυπεῖς ἀεὶ τῇ πενίᾳ συνδέων. ἢν γὰρ ἀπορία
τοῦ καλοῦντος γένηται, ἀνάγκη με σκάνδικας ἐσθίειν
καὶ γήθυα, ἢ πόας ἀναλέγειν καὶ τῆς Ἐννεακρούνου
πίνοντα πίμπλασθαι τὴν γαστέρα. εἶτα, ἕως μὲν τὸ 2
σῶμα τὰς ὕβρεις ὑπέμενε καὶ ἦν ἐν ὥρᾳ τοῦ πάσχειν
νεότητι καὶ ἀκμῇ νευρούμενον, φορητὸς ἡ ὕβρις· ἐπειδὴ
δὲ ἐγώ σοι μεσαιπόλιος, καὶ τὸ λειπόμενον τοῦ βίου
πρὸς γῆρας ὁρᾷ, τίς ἴασις τῶν κακῶν; Ἁλιαρτίου σχοι-
νίου χρεία, καὶ κρεμήσομαι πρὸ τοῦ Διπύλου, ἢν μή
τι δεξιὸν ἡ τύχη βουλεύσηται. εἰ δὲ [καὶ] τοῖς αὐτοῖς 3
ἐπιμείνειεν, οὐ πρότερον στραγγαλιῶ τὸν τράχηλον,
πρὶν τραπέζης ἀπολαῦσαι πολυτελοῦς· οὐκ εἰς μακρὰν
δὲ ὁ περίβλεπτος οὗτος καὶ ἀοίδιμος ἔσται γάμος Χαρι-
τοῦς καὶ Λεωκράτους, μετὰ τὴν ἕνην καὶ νέαν τοῦ
Πυανεψιῶνος, εἰς ὃν πάντως ἢ παρὰ τὴν πρώτην
ἡμέραν ἢ τοῖς ἐπαυλίοις κεκλήσομαι. δεῖ γὰρ θυμη-
δίας καὶ παρασίτων τοῖς γάμοις, καὶ ἄνευ ἡμῶν ἀνέ-
ορτα πάντα καὶ συῶν οὐκ ἀνθρώπων πανήγυρις.

x (*Harl. Ven.*) *Neap.*[a] x[1] (*Vat. 1*)

1 *συνδέων*] *συνδῶν* Cob. | *ἢν*] *ἡ* *Neap.*[a] | 2 *γένηται—με*] om. x *Neap.*[a] | 3 *γήθυα* Reisk., *τηθεία* *Neap.*[a], *τήθεα* cet. | *πόας*] *πόδας* *Vat. 1*, *ὄα* Herch. (ed.) | *ἀναλέγειν—πίνοντα*] om. x *Neap.*[a] | 3 *καὶ τῆς*] *κἀκ τῆς* Herw. | 4—5 *τὸ—ὕβρεις*] *τὰς ὕβρεις τὸ σῶμα* x[1] | 6 *φορητὸς*] *φορητὴ* *Vat. 1* | *ἐπειδὴ*] *ἐπεὶ* Herch. (ed.) | 7 post *δὲ* add. *τὸ λοιπὸν* x[1], unde *ἐπεὶ δ' ἤδη* Mein. | *μεσαιπόλιος* Bergl. (ed.), *μεσαίπονος* *O* | 9 *καὶ*] *ᾧ* Herm. | *Διπύλου*] *Διιπύλου* *Ven.*, *διπήχου* *Neap.*[a] | 10 *βουλεύσηται*] *βραβεύσῃ* cl. II 4, 2 Lennep., *πορίσηται* Pol. | [*καὶ*] del. Herch. (ed.), *δὴ* Pol. | 11 *ἐπιμείνειεν*] *ἐπιμείνοιεν* *Vat. 1* | *στραγγαλιῶ* Mein. (ed.), *στραγγαλίσω* *O* | 12 *πολυτελοῦς*] *λυσιτελοῦς* *Neap.*[a] | *μακρὰν* *Neap.*[a], *μακρὸν* cet. | 13 *ἔσται*] om. x[1] | 15 *εἰς*] *δὲ εἰς* *Γ* | *παρὰ*] *μετὰ* x, unde *πάντως μετὰ τὴν πρώτην ἡμέραν τοῖς* Mein. | 18 *πανήγυρις*] *πανηγύρεις* Seil.

14 [III 50].

Βουκοπνίκτης Ἀρτοπύκτῃ.

*Οὐκ ἀνέχομαι ὁρῶν Ζευξίππην τὴν ἱππόπορνον
ἀπηνῶς τῷ μειρακίῳ χρωμένην. οὐ γὰρ δαπανᾶται εἰς
αὐτὴν χρυσίον μόνον καὶ ἀργύριον, ἀλλὰ καὶ συνοικίας
καὶ ἀγρούς. ἡ δέ, ἐπὶ πλέον ἐκτύφεσθαι τὸν ἔρωτα
τούτῳ μηχανωμένη, τοῦ Εὐβοέως ἐρᾶν προσποιεῖται
[τοῦ] νεανίσκου, ἵνα ⟨τὰ⟩ τούτου κατασπαθήσασα οὕτως*
2 *ἐπ' ἄλλον τρέψῃ τὸν ἔρωτα. ἐγὼ δὲ ὀδυνῶμαι τὴν
καρδίαν ὁρῶν ὑπορρέοντα τοσοῦτον πλοῦτον, ὃν οἱ
μακαρῖται αὐτῷ Λυσίας καὶ Φανοστράτη κατέλιπον.
ἃ γὰρ ἐκεῖνοι κατ' ὀβολὸν συνήγαγον, ἀθρόως ἀναλοῖ
τὸ πολύκοινον τοῦτο καὶ αἰσχρότατον γύναιον. πάσχω
μὲν οὖν τι καὶ ἐπὶ τῷ μειρακίῳ· κύριος γὰρ γενόμενος
τῆς οὐσίας πολλὴν τὴν εἰς ἡμᾶς φιλανθρωπίαν ἐνεδεί-*
3 *ξατο· ὁρῶ δὲ καὶ τὰ ἡμέτερα σκάζοντα· εἰ γὰρ εἰς
ταύτην ἅπαντα ⟨ἀνα⟩τεθείη τὰ προσόντα τούτῳ τῷ
βελτίστῳ, καλῶς, ὦ θεοί, καλῶς ἀπολαύσομεν τῆς πλη-*

x *(Harl. Ven.)* x¹ *(Γ Vat. 1)*

1 *Βουκοπνίκτης*] *βουβοπνίκτης* x. De sensu vid. III 24 inscr. | *Ἀρτοπύκτῃ*] *Ἀντοπύκτῃ Vat. 1*, *Ἀντοπήκτῃ Γ*, *Ἀντοπίκτῃ* Bergl. (ed.), *Ἐτνοπήκτῃ* vel *Ἐτνολείκτῃ* Seil., *Ἀντιπύκτῃ* Immisch. | 2 *Ζευξίππην*] *Ζευγίππην* x | *ἱππόπορνον*] *ὑπόπορνον Γ* | 4 *ἀλλὰ*] *ἀλλ' ἢ* x¹, *ἀλλ' ἤδη* Bergl. (ed.) | *συνοικίας*] *συνοικίαι* x¹ | 5 *ἀγρούς*] *ἀγράς Ven.*, *ἀγροί* x¹ | 7 [*τοῦ*] del. Herch. (ed.) | *ἵνα*] *ἵνα καὶ Ven. Vat. 1* | ⟨*τὰ*⟩ add. Bergl. | *κατασπαθήσασα*] *σπαθήσασα* x¹ | *οὕτως*] om. x¹, *εἶτ'* Cob. | 10 *μακαρῖται* Seil. (ed.), *μακαρίται O* | *Λυσίας*] *Φαννίας Harl.*, *Φανίας Ven.* | *Φανοστράτη* Bergl. (ed.), *Φανοστράτης* x, *Φαινοστράτη* x¹ | 11 *συνήγαγον*] *ἀνήγαγον* x | 14 *τὴν*] del. Cob. | *ἐνεδείξατο*] *ἀνεδείξατο Γ* | 16 *ταύτην*] *Γλαύκην* Reisk. | ⟨*ἀνα*⟩ add. cl. III *23, 2 Reisk.* | *τούτῳ*] *αὐτῷ* x | 17 καλῶς—πλησμονῆς] *καλὴν—καλὴν—τὴν πλησμονήν* x, unde ἀπολάψομεν pro ἀπολαύσομεν *Mein.*

σμονῆς. ἔστι γάρ, ὡς οἶσθα, ἁπλοϊκὸς ὁ Φίληβος καὶ πρὸς ἡμᾶς τοὺς παρασίτους ἐπιεικὴς καὶ μέτριος τὸν τρόπον, ᾠδαῖς μᾶλλον καὶ γέλωτι ἢ ταῖς εἰς ἡμᾶς ὕβρεσι θελγόμενος.

15 [III 51].

Λαιμοκύκλωψ Κρεολώβῃ.

*Ἰδοὺ μετὰ τὸν Εὐρώταν καὶ τὸ Λερναῖον ὕδωρ καὶ τὰ Πειρήνης νάματα ἔρωτι τῆς Καλλιρρόης ἐκ Κορίνθου πάλιν Ἀθήναζε κατεπείγομαι. οὐ γάρ με τῶν τρυφημάτων τῶν ἐν τούτοις οὐδὲν ἤρεσεν, ἀλλ' ἕτοιμος ἐντεῦθεν ἀποσοβεῖν καὶ σπεύδειν ὡς ὑμᾶς.
ἀχάριστοι γὰρ ὤφθησαν οὗτοι καὶ ἥκιστα συμποτικοί,* 2
*καὶ πλείους παρ' αὐτοῖς αἱ παροινίαι τῶν ἀπολαύσεων. ὡς ἄμεινον ἐμοὶ ὀλύνθους ἢ παλάθας ἐπιμασᾶσθαι τῶν Ἀττικῶν, ἢ τοῦ παρὰ τούτοις χρυσίου ἀποδρέπε-
σθαι. οἷα γὰρ καινουργεῖν ἐπιχειροῦσιν ἀναγκάζοντες* 3
ἀσκωλιάζοντας πίνειν, διάπυρόν τε τὸν οἶνον καὶ θερ-

x *(Harl. Ven.)* x^{1} *(Γ Vat. 1)*

1 *ἔστι*] *ἔτι Ven.*, *ἔστι—θελγόμενος* ante *ὁρῶ δὲ* collocat Pol. | 2 *ἐπιεικὴς καὶ μέτριος*] ord. inv. x | *τὸν τρόπον*] om. x
5 *Κρεολώβῃ* Mein. (ed.), *Κλεολώβῃ* x^{1}, *Κλεολάβῃ* x | 6 *ἰδοὺ*] *ἰδοῦ Ven.* | 7 *καὶ τὰ—νάματα*] om. x | *ἔρωτι τῆς*] *ἐρωτικῆς* x^{1} | *Καλλιρρόης*] *καλιρρόης Vat. 1* | 8 *κατεπείγομαι*] *κατεπείγομεν Ven.* | 8—9 *οὐ—ἤρεσεν*] *οὐ γάρ μέ τι τῶν—τούτοις ἤρεσεν* x, idem sed *οὔ με γὰρ τῶν τι* Mein. | 10 *ἐντεῦθεν*] *ἐνθένδε* x^{1} | *σπεύδειν*] *φεύγειν* x | *ὑμᾶς*] *ἡμᾶς* x | *ἀχάριστοι*] *ἀχάριτοι* Reisk. | 11 *οὗτοι*] *οἵδε* x^{1} | *συμποτικοί*] *συμποτικόν Ven.* | 12 *αὐτοῖς*] *ἑαυτοῖς* x | 13 *ὡς*] *ὥστ'* Cob. | *παλάθας*] *λαπάθας* x | *ἐπιμασᾶσθαι*] *ἐπιμάσσασθαι* x, del. *ἐπι* Cob., *ἐκεῖ μασᾶσθαι* Pol. | 14 *ἢ τοῦ—ἀποδρέπεσθαι*] *ἢ τὸ—χρυσίον ἀποδρύπτεσθαι* x^{1}, unde *ἢ ⟨διὰ⟩ τὸ—ἀποδρύπτεσθαι* Bergl. | *χρυσίου*] *χρυσοῦ* Mein. | 15 *καινουργεῖν*] *καὶ νεουργεῖν* x^{1}, *οἷα νεουργεῖν* Herel. | *ἀναγκάζοντες ἀσκωλιάζοντας*] ord. inv. x | *τὸν*] om. x^{1} | 16 *καὶ θερμὸν*] del. Valck.

μὸν ἄνευ τοῦ πρὸς ὕδωρ κράματος καταχέοντες, εἶτα [ὀστέα] κῶλά τε καὶ ἀστραγάλους καθάπερ τοῖς κυσὶ παραρριπτοῦντες καὶ νάρθηκας ἐπιρρηγνύντες, καὶ σκύτεσι καὶ τοῖς ἄλλοις ἱμᾶσιν ἀντὶ παιδιᾶς πλήττοντες.
4 ἐμοὶ γένοιτο, πρόμαχε Ἀθηνᾶ καὶ πολιοῦχε τοῦ ἄστεος, Ἀθήνησι καὶ ζῆσαι καὶ τὸν βίον ἀπολιπεῖν. ἄμεινον γὰρ πρὸ τῆς Διομηΐδος πύλης ἢ πρὸ τῶν Ἱππάδων ἐκτάδην κεῖσθαι νεκρὸν τύμβου ⟨οὐ⟩ περιχυθέντος, ἢ τῆς Πελοποννησίων εὐδαιμονίας ἀν⟨τ⟩έχεσθαι.

16 [III 52].

Ἀκρατολύμας Χωνοκράτει.

Οὔ μοι μέλει· ποιούντων ὅσα καὶ βούλονται ⟨οἱ⟩ ῥιψοκίνδυνοι Γρόνθων καὶ Σαρδανάπαλλος· ἐμὲ γὰρ κοινωνῆσαι τῆς ἀτόπου πράξεως ἀδύνατον, οὐδ' εἰ μάντευμά μοι ἐκ τῆς Δωδωναίας δρυὸς ἐπιτρέποι τὸ

x *(Harl. Ven.)* *Neap.*^{a} (hic inde a III 16) x^1 *(Γ Vat. 1)*

1 πρὸς] πυρὸς x | 2 [ὀστέα] del. Herch. (ed.) | 3 ἐπιρρηγνύντες] περιρρηγνύντες Herch. (ed.) | 4 σκύτεσι] σκύτει x | καὶ τοῖς ἄλλοις] καὶ τοῖς πολλοῖς cl. III 16, 3 (ubi nunc corr.) Mein., ἄλλοις τε καὶ τοῖς Metr., καὶ τοῖς τμητοῖς Pol., del. τοῖς Herw. | παιδιᾶς] παῖδας *Vat. 1* | 5 ἐμοὶ] ἐμοὶ δὲ *Harl.* | πρόμαχε] om. *Vat. 1* | τοῦ ἄστεος] del. Herch. (ed.), at cf. e. g. II 10, 2 | 7 Διομηΐδος L. Dindorf., διάμιδος x, Διομήδους x^1 | πρὸ Bergl., παρὰ *O* | 8 κεῖσθαι] ὑεῖσθαι *Ven.*, πατεῖσθαι x^1 | ⟨οὐ⟩ add. Mein. (qui etiam ⟨οὐδὲ⟩ τύμβου) | 9 Πελοποννησίων] Πελοποννήσου x^1 | εὐδαιμονίας] κηδεμονίας Metr. | ⟨τ⟩ add. Valck.

10 Inscr. ante me erat inscr. ep. sq., ubi vid. | Χωνοκράτει Seil. (ed.), Χωνοκράτῳ *O* | 11 μέλει] μέλλει *Harl.*, μέλοι ει *Ven.*, μέλον *Vat. 1* | ποιούντων] τοιούτων *Neap.*^{a} | βούλονται] βούλωνται *Ven.* | ⟨οἱ⟩ add. Seil. | 12 ῥιψοκίνδυνοι] ῥιψοκίνδυνον *Neap.*^{a} | Γρόνθων Bergl. (ed.), Γρονθον Neap.^{a}, Γόρθων x, Γρίθων x^1, Γρίφων Mein., Γενθίων Herch. (ed.) | 14 ἐπιτρέποι] ἐπιτρέπει x

δρᾶμα. [ὥς ἐστιν ἐργάζεσθαι χρηστόν· φύεται γὰρ σπα-
νίως καὶ ἐν παισὶ τὸ χρηστὸν καὶ πιστὸν ἦθος καὶ
ὑγιές· πάντως οὖν ἀφεκτέον.] ὑποπειρῶσι γὰρ τὴν 2
παλλακὴν τοῦ τῆς οἰκίας δεσπότου, καὶ ἤδη αὐτοῖς ἡ
πρᾶξις εἰς τὴν ἀκμὴν προκεχώρηκε. καὶ οὐκ ἀρκοῦνται
τῇ τῶν ἀφροδισίων ἀθέσμῳ πλησμονῇ, ἀλλὰ γὰρ ⟨καὶ⟩
τὰ ἐκ τῆς οἰκίας σκεύη καθ' ἓν ἐκλαμβάνουσι. καὶ 3
ἴσως μὲν ἄχρι τινὸς λήσεται τοὖργον πραττόμενον,
πάντως δέ ποτε ἢ λάλος γείτων ἢ ψιθυρὸς οἰκέτης
ἀγορεύσει τὸ πρᾶγμα εἰς τοὐμφανές, καὶ ἀνάγκη μετὰ
πῦρ καὶ σίδηρον καὶ τὰς ἄλλας βασάνους τέλος αὐτοῖς
γενέσθαι τῆς ἡδονῆς τὸ κώνειον ἢ τὸ βάραθρον. ἀφει-
δῶς γὰρ χρώμενοι τῷ τολμήματι ἰσόρροπον τῇ πράξει
τὴν τιμωρίαν ἐκτίσουσιν.

17 [III 53].

Λοπαδίων Εὐκνίσσῳ.

Χθὲς Καρίωνος περὶ τὸ φρέαρ ἀσχολουμένου εἰσέφρησα εἰς τοὐπτάνιον· ἔπειτα εὑρὼν λοπάδα εὖ μάλα

x (*Harl. Ven.*) *Neap.*^{a} x^1 (*Γ Vat. 1*)

1—3 [ὡς—ἀφεκτέον] expunxi, del. ὡς—ὑγιές Bergl., om. τὸ χρηστὸν καὶ *Neap.*^{a} x (*Harl.* retinet τὸ), δρᾶμα, ὡς ἐργάζεσθαι χρηστήν Reisk. | 4—5 καὶ ἤδη—προκεχώρηκε] om. x, τὴν ἀκμὴν scripsi, τὴν ἀρχὴν *O*, ἀκμὴν Bergl., ἁρπαγὴν Lennep. | 6 ⟨καὶ⟩ addidi cl. I 17, 3, ἀλλὰ καὶ Bergl., ἅμα γὰρ Mein. | 7 post ἓν add. ὡς ἐπέμφωρα (sic) x^1, unde ὥσπερ φώρια Toup., ὡς ἐπ' ἐκφορᾷ Bergl., ὥσπερ φῶρες Seil. | 8 τινὸς] τινὰ *Neap.*^{a} | 11 σίδηρον] σιδήρου *Neap.*^{a} | ἄλλας Herch. (ed.), πολλὰς *O*. Cf. III 15, 3 | βασάνους] δαπάνας *Γ* | αὐτοῖς] αὐτῷ *Γ*, om. *Neap.*^{a} | 12 τῆς ἡδονῆς] om. x^1 | ἢ] καὶ *Neap.*^{a} | 14 ἐκτίσουσιν] ἐκτίσαιντο *Neap.*^{a}

15 Inscr. (quam om. *Neap.*^{a}) ante me erat incr. ep. praep.; transtuli imprimis cl. § 1 propter Λοπαδίων (ita pro Κοπαδίων Schäfer., Κωπαδίων Herch. (ed.) | Εὐκνίσσῳ] Εὐηνίσσῳ Ven., Εὐκνίσῳ *Vat. 1* | 17 τοὐπτάνιον] τοὐπτανεῖον x Neap.^{a} | ἔπειτα] εἶτα x^1 | εὑρὼν] εὗρον *Γ* | εὖ] οὐκ εὖ Ven. | μάλα] om. x Neap

*κεκαρυκευμένην καὶ ἀλεκτρυόνα ὀπτὸν καὶ χύτραν μεμ-
βράδας ἔχουσαν καὶ ἀφύας Μεγαρικὰς ἐξήρπασα, καὶ
ἀποπηδήσας, ποῖ καταχθείην ἐζήτουν καὶ εὐκαίρως ἐμ-*
2 *φάγοιμι μόνος. ἀπορίᾳ δὲ τόπου δραμὼν ἐπὶ τὴν
Ποικίλην — καὶ γὰρ οὐκ ἠνώχλει ταύτην οὐδὲ εἷς
τῶν ἀδολέσχων τουτωνὶ φιλοσόφων — κεῖθι τῶν πόνων*
3 *ἀπέλαυον. ἀνανεύσας δὲ τῆς λοπάδος ὁρῶ προσιόντας
τῶν ἀπὸ τῆς τηλίας τινὰς νεανίσκων, καὶ δείσας τὰ
μὲν βρώματα ὄπισθεν ἀπεθέμην, αὐτὸς δὲ εἰς τοὔδαφος
ἐκείμην κρύπτων τὰ κλέμματα εὐχόμενός τε τοῖς Ἀπο-
τροπαίοις τὸ νέφος παρελθεῖν, χόνδρους ὑποσχόμενος
λιβανωτοῦ ἱκανούς, οὓς οἴκοι ἀναλεξάμενος τῶν ἱερῶν*
4 *ἔχω εὖ μάλα εὐρωτιῶντας. καὶ οὐκ ἠστόχησα· οἱ θεοὶ
γὰρ αὐτοὺς ἄλλην ὁδὸν ἔτρεψαν. κἀγὼ σπουδῇ κατα-
βροχθίσας πάνθ' ὅσα ἐνέκειτο τοῖς σκεύεσι, φίλῳ παν-
δοκεῖ τὴν χύτραν καὶ τὸ λοπάδιον, τὰ λείψανα τῶν
κλεμμάτων, χάρισμα δοὺς ἔχειν ἀπεχώρησα, ἐπιεικής
τις καὶ δεξιὸς ἐκ τῶν δωρημάτων ἀναφανείς.*

x *(Harl. Ven.) Neap.*^{a} x^1 *(Γ Vat. 1)*

1 *κεκαρυκευμένην*] *κεκρασμένην Neap.*^{a} | *καὶ χύτραν* x^1, *χύτραν τε* cet. | 2 *Μεγαρικὰς* Pierson., *μεγειρικὰς Neap.*^{a}, *μαγειρικὰς* cet., *Φαληρικὰς* Bergl. | 3 *ποῖ*] *πῇ* x | *καὶ*] *ἵν'* Pol. | *εὐκαίρως*] *εὐκέρως Ven.*, *εὐχερῶς* Mein. | *ἐμφάγοιμι* Reisk., *ἂν φάγοιμι O* (post *μόνος* hab. x^1) | 4 *τόπου*] .... *που Neap.*^{a} | 5 *ἠνώχλει*] *ἠνόχλει* x^1 | 6 *ἀδολέσχων*] *ἀδολεσχῶν* Cob. | 7 *ἀπέλαυον*] *ἀπέλαβον Ven.*, *ἀπήλαυον Vat. 1* | 8 *τηλίας*] *τιλίας* x^1, *Τηλίας* Seil. (ed.) | *τινὰς Neap.*^{a}, *τινὰ* cet. | 9 *ὄπισθεν*] *ὄπιθεν* x^1 | 10 *εὐχόμενός τε*] om. *τε* x, *καὶ ηὐχόμην* Bergl. (ed.) | post *Ἀποτροπαίοις* add. *θεοῖς* Cob., sed cf. II 33, 1 | 11 *τὸ νέφος παρελθεῖν* (*ἀπελθεῖν* sed a prima man. corr. *Harl.*)] ord. inv. x^1 | *χόνδρους — λιβανωτοῦ*] *ὑποσχόμενος λιβανωτοῦ χόνδρους* x^1 | 12 *ἱκανούς*] om. x *Neap.*^{a} | *ἀναλεξάμενος* x^1, *ἀναδεξάμενος Harl.*, *ἀναδεξαμένους* cet. | 15 *φίλῳ πανδοκεῖ*] *φίλῳ πανδοχεῖ Harl.*, *Φιλοπανδοχεῖ Ven.* | 16 *χύτραν καὶ τὸ λοπάδιον*] *λοπάδα καὶ τὸ χυτρίδιον* x^1 | τὰ λείψανα] om. Neap.^{a} | 17 *χάρισμα*] *χάριν* x | *ἔχειν*] om. x^1 | 18 δεξιός] μέτριος x^1, *ἀστεῖος* Pol. | *δωρημάτων*] φωραμάτων vel ἀδικημάτων Mein.

18 [III 54].

Χυτρολείκτης Πατελλοχάροντι.

Τί δακρύω, ἴσως ἐρήσῃ με, ἢ πόθεν κατέαγα τὸ κρανίον, ἢ πῶς τὸ ἀνθηρὸν τοῦτο εἰς μέρη κατερρωγὸς ἱμάτιον φορῶ; ἐνίκησα κυβεύων, ὡς μήποτ᾽ ὤφελον. τί γὰρ ἔδει με ἀσθενέστερον ὄντα ῥωμαλέοις συνεξε-
τάζεσθαι νεανίαις; ἐπεὶ γὰρ εἰς ἐμαυτὸν ὅλας τὰς ἐκ- 2
θέσεις συνελεξάμην, ἀπορία δὲ ἦν αὐτοῖς παντελὴς ἀργυρίου, ἐπ᾽ ἐμὲ πάντες ὥρμησαν. καὶ οἱ μὲν πὺξ ἔπαιον, ἄλλοι δὲ λίθοις ἐχρῶντο, οἱ δὲ διέσχιζον τὸ
ἱμάτιον. ἐγὼ δ᾽ ἀπρὶξ τῶν κερμάτων εἰχόμην, ἀπο- 3
θανεῖν πρότερον ἢ προέσθαι τι ἐκείνοις τῶν μοι πεποριsμένων αἱρούμενος· καὶ δὴ μέχρι γέ τινος ἀντέστην γεννικῶς καὶ τὰς φορὰς τῶν πληγῶν ὑπομένων καὶ τὰς ἐκστροφὰς τῶν δακτύλων ἀνεχόμενος, καὶ ἤμην οἷά τις Σπαρτιάτης ἀνὴρ ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθίας
τυπτόμενος. ἀλλ᾽ οὐκ ἦν Λακεδαίμων ἐν ᾗ ταῦτα 4
ὑπέμενον, ἀλλ᾽ Ἀθῆναι καὶ τῶν Ἀθήνησι κυβευτῶν οἱ

x *(Harl. Ven.) Neap.*[a] x[1] *(Γ Vat. 1)*

1 *Πατελλοχάροντι*] *Πατελλοχάρωνι* Herch., sed cf. III 10 inscr. | 2 *δακρύω*] *δακρύεις* x[1] | *κατέαγα*] *κατέαγε Γ* | 3 ante *εἰς* add. *καὶ* x | 7 *συνελεξάμην*] *συνεζευξάμην* x | *παντελὴς*] *παντελῶς* Bergl. (ed.) | 9 *λίθοις ἐχρῶντο*] *λὰξ ἐνήλλοντο* Bergl. | 10 *τῶν κερμάτων εἰχόμην*] ord. inv. x[1] | 11 *ἐκείνοις τῶν* Bergl. (ed.), ord. inv. *Ven.* x[1], *τῶν ἐκείνων* cet., del. *ἐκείνοις* Mein. | *μοι*] *ἐμοὶ* Bergl. | 12 *πεποριsμένων*] *ποριsμένων Harl.*, *περισμένων Ven.* | 13 *γεννικῶς*] *γενναίως* x[1] | 14 *ἤμην*] *ἦν* Herch. (ed.), *ἤμην* Metr. | 15 *ἀνὴρ*] *ἄνηβος* Metr. | *Ὀρθίας* Bergl., *Πυθίας O*, *Πειθοῦς* Metr. | 16 *οὐκ—ᾗ* Bergl., *οὐκ ἐν Λακεδαίμονι ἐμῇ O* (*οὔκαι* [sic] *Ven.*, *τῇ ἐμῇ* x[1]), del. *ἐν ᾗ* et *ὑπέμενον* Boissevain | 17 *ἀλλ᾽—ἐξωλέστατοι*] Ἀθήνησι (*Ἀθήνης οι* [sic] *Ven.*) *δέ·* Ἀθηνᾶ γὰρ καὶ τῶν ἐνταῦθα κυβευτῶν (*κυβευτάρῦ* [sic] *Ven.*) οἱ ἐξωλέστατοι x, om. haec omnia *Neap.*[a]

ἐξωλέστατοι. τέλος δ' οὖν λιποθυμήσας ἀφῆκα τοῖς ἐναγέσι λαμβάνειν. οἱ δὲ καὶ τὸ προκόλπιον διηρεύνησαν, καὶ τὰ ἐν τούτῳ ἐγκείμενα φέροντες ᾤχοντο, τοῦτ' ἐμοῦ λῷον ἡγησαμένου τὸ ζῆν δίχα χρημάτων ἢ μετὰ χρημάτων τεθνάναι.

19 [III 55].

Αὐτόκλητος Ἑτοιμαρίστῳ.

Ὀλίγα ἢ οὐδὲν διαφέρουσι τῶν ἰδιωτῶν οἱ σεμνοὶ καὶ τὸ καλὸν καὶ τὴν ἀρετὴν ἐξυμνοῦντες· τούτους λέγω τοὺς ἐργολαβοῦντας τὰ μειράκια. οἷον γὰρ οἷον ἔλαθέ σε συμπόσιον Σκαμ⟨β⟩ωνίδου γενέσια τῆς θυγα-
2 τρὸς ἑορτάζοντος. καλέσας γὰρ ἔναγχος οὐκ ὀλίγους τῶν προὔχειν δοκούντων Ἀθήνησι πλούτῳ καὶ γένει, ᾠήθη δεῖν καὶ τοῖς φιλοσοφοῦσι κοσμῆσαι τὴν εὐωχίαν. παρῆν οὖν ἐν πρώτοις Ἐτεοκλῆς ὁ στωικὸς οὗτος, ὁ πρεσβύτης, ὁ κουρ[ε]ιῶν τὸ γένειον, ὁ ῥυπαρός, ὁ τὴν κεφαλὴν αὐχμηρός, ὁ ῥυσ[σ]ότερον τῶν βαλαντίων ἔχων
3 τὸ πρόσωπον. παρῆν δὲ καὶ Θεμισταγόρας ὁ ἐκ τοῦ

x (*Harl. Ven.*) *Neap.*ª x¹ (*Γ Vat. 1*)

1 δ' οὖν Seil. (ed.), οὖν x¹, γοῦν cet. | λιποθυμήσας Cob., λυποθυμήσας *Neap.*ª, λειποθυμήσας cet. | 2 ἐναγέσι] ἐνακίσι *Vat. 1* | προκόλπιον] in *Γ* inter ι et ον rasura | 4 τοῦτ' ἐμοῦ] τούτου ἐμοῦ *Harl.*, τοῦτου (sic) *Ven.*, τοῦτό μου Mein., σπουδῇ, ἐμοῦ Pol. | λῷον Seil., λώιον *O* (λόγον *Ven.*) | τὸ] fort. delendum | δίχα] ἄνευ x¹

6 In x errore est inscr. ep. sq. | 8 καὶ (ante τὸ)] om. *Neap.*ª | 10 ⟨β⟩ add. Bergl., Σκαμανίδου x *Neap.*ª | τῆς] om. x¹ | 13 φιλοσοφοῦσι] φιλοσόφοις *Neap.*ª | 14 πρώτοις] τούτοις x¹ | Ἐτεοκλῆς] Εὐοκλῆς x¹ | 15 ὁ—γένειον] om. x *Neap.*ª, [ε] del. J. G. Schneid. | 16 post αὐχμηρός add. ὁ γεγηρακώς x¹ | [σ] del. Mein. (ed.), ῥυσσώτερον Neap.ª | βαλαντίων] βαντίων *Neap.*ª | 17 πρόσωπον *Neap.*ª, μέτωπον cet. | δὲ] om. x *Neap.*ª | ὁ ἐκ τοῦ περιπάτου] om. Neap.ª

περιπάτου, ἀνὴρ οὐκ ἄχαρις ὀφθῆναι, οὔλῃ τῇ γένυϊ λαμπρυνόμενος. ἦν δὲ καὶ ὁ Ἐπικούρειος Ζηνοκράτης, οὐκ ἀτημέλητος τοὺς κικίννους καὶ ἐπὶ βαθεῖ τῷ πώγωνι σεμνυνόμενος, ὅ τε ἀοίδιμος — τοῦτο γὰρ πρὸς 4
ἁπάντων ἐκέκλητο — Ἀρχίβιος ὁ Πυθαγορικός, ὦχρον ἐπὶ τοῦ προσώπου πολὺν ἐπιβεβλημένος, πλοκάμους ἀπ' ἄκρας τῆς κεφαλῆς ἄχρι στέρνων αὐτῶν ἀπαιωρῶν, ὀξὺ καὶ ἐπίμηκες τὸ γένειον καθεικώς, τὴν ῥῖνα ἐπικαμπής, τὸ στόμα ἐπιχειλής, αὐτῷ τῷ πεπιέσθαι καὶ λίαν μεμυκέναι τὴν ἐχεμυθίαν ὑποσημαίνων. ἐξαίφνης 5
δὲ καὶ Παγκράτης ὁ κύων ῥύμῃ τοὺς πολλοὺς παρωσάμενος εἰσήρρησε, στελέχῳ πρινίνῳ ἐπερειδόμενος, ἦν γὰρ ἀντὶ τοῦ πυκνώματος τῶν ὄζων χαλκοῖς τισιν ἥλοις ἐμπεπαρμένην ἔχων βακτηρίαν, καὶ τὴν πήραν διάκενον καὶ πρὸς τὰ λείψανα ἐντόνως ἠρτημένην. / οἱ μὲν οὖν ἄλλοι ἀπ' ἀρχῆς εἰς τέλος παραπλησίαν / 6
τινὰ καὶ τὴν αὐτὴν εἶχον τῆς ἑστιάσεως ἀκολουθίαν,

x (*Harl. Ven.*) *Neap.*ᵃ x[1] (*Γ Vat. 1*)

2 ἦν] παρῆν Seil. | 3 οὐκ—καὶ] om. x *Neap.*ᵃ, κικίννους Bergl., κίκωνας *Γ*, κίνωνας *Vat. 1.* Pro ἐπὶ (ita Hemst.) hab. ὑπὸ x *Neap.*ᵃ, αὐτὸς ὑπὸ x[1]. Fort. igitur ἀνὴρ — ὀφθῆναι, οὐκ ἀτημέλητος τοὺς κικίννους ⟨καὶ⟩ οὔλῃ — λαμπρυνόμενος. ἦν δὲ — Ζηνοκράτης, καὶ αὐτὸς — σεμνυνόμενος | 4 ὅ τε] καὶ ὅ τε x *Neap.*ᵃ | 5 ἐκέκλητο] ἐκαλεῖτο x[1] | Πυθαγορικός] Πυθαγόρειος cl. § 7 Cob. | 7 ἄκρας] om. x[1] | ἄχρι] μέχρι x[1] | ἀπαιωρῶν] ἀπ om. x[1] | 8 ἐπίμηκες] μακρὸν x *Neap.*ᵃ | τὸ γένειον post καθεικὼς hab. x *Neap.*ᵃ | ῥῖνα x, ῥίνα cet. | 9 αὐτῷ τῷ et ὑποσημαίνων x[1], ὡς ἀπὸ τοῦ et ὑποσημαίνειν cet. | πεπιέσθαι Hemst., πεπεῖσθαι *O*, κεκλεῖσθαι Bergl., πεπρῖσθαι Mein. | 12 εἰσήρρησε] εἰσήρησε x[1], εἰσέφρησε Herm. | στελέχῳ cl. Poll. X 166 Mein., στελεῷ *O*, στελέχει Bergl. Cfrt Luc. V. H. I 8 Pol. | 14 ἔχων *Neap.*ᵃ, φέρων cet., εἶχε γὰρ (pro ἦν γὰρ ἔχων) Cob. | βακτηρίαν] βακτηρίαις *Ven.* | 15 ante διάκενον add. δὲ x *Neap.*ᵃ | ἐντόνως x, εὐτόνως *Neap.*ᵃ, εὐζόνως Γ, εὐζώνως Vat. 1, εὐχόρως Maehl., εὖ τόνοις Mein. | ἠρτημένην] ἠρτυμένην Jacobs.

οἱ φιλόσοφοι δέ, προϊόντος τοῦ συμποσίου καὶ τῆς
φιλοτησίας συνεχῶς περισοβουμένης, ἄλλος ἄλλην τε-
7 ρατείαν ἐπεδείξαντο. Ἐτεοκλῆς μὲν γὰρ ὁ στωϊκὸς ὑπὸ
γήρως καὶ πλησμονῆς ἐκτάδην κείμενος ἔ⟨ρ⟩ρεγχεν·
ὁ Πυθαγόρειος δὲ τὴν σιωπὴν λύσας τῶν χρυσῶν ἐπῶν
τινα κατὰ μουσικὴν ἁρμονίαν ἐτερέτιζεν. ὁ βέλτιστος
δὲ Θεμισταγόρας, ἅτε τὴν εὐδαιμονίαν κατὰ τὸν τοῦ
περιπάτου λόγον οὐ ψυχῇ καὶ σώματι μόνον ἀλλὰ καὶ
τοῖς ἐκτὸς ὁριζόμενος, ἀπῄτει πλείονα πέμματα καὶ
8 ποικιλίαν τῶν ὄψων δαψιλῆ. Ζηνοκράτης δὲ ὁ Ἐπι-
κούρειος τὴν ψάλτριαν ὡς αὑτὸν ἐνηγκαλίζετο τακερὸν
καὶ ὑγρὸν προσβλέπων ὑπομεμυκόσι τοῖς ὄμμασι, λέγων
τοῦτο εἶναι τὸ τῆς σαρκὸς ἀόχλητον καὶ τὴν καταπύκ-
9 νωσιν τοῦ ἡδομένου. ὁ κύων δὲ πρῶτα μὲν οὔρει
κατὰ τὴν κυνικὴν ἀδιαφορίαν εἰς σύρμα χαλάσας καὶ
καθεὶς τὸ τριβώνιον, ἔπειτα καὶ Δωρίδα τὴν μουσουρ-
γὸν οἷος ἦν ἐν ὀφθαλμοῖς ἁπάντων [ὁρώντων] ἐνεργεῖν,
φάσκων ἀρχὴν γενέσεως εἶναι τὴν φύσιν· ὥστε ἡμῶν

x *(Harl. Ven.)* *Neap.*^{a} x^1 *(Γ Vat. 1)*

2 *περισοβουμένης*] *περισοβούσης* Herch. (ed.), sed cf. III 39, 2 | *τερατείαν*] *παραιτίαν* *Neap.*^{a}, *τερθρείαν* Bergl. | 3 *Ἐτεοκλῆς*] *νεοκλῆς* *Neap.*^{a}, *εὐοκλῆς* x^1 | *μὲν*] om. x^1 | 4 ⟨ρ⟩ add. Seil. | 5 *Πυθαγόρειος*] *Πυθαγορικὸς* cl. § 4 Mein. | *τῶν—τινα κατὰ* Maehl., *τῶν—κατά τινα* *O*, *τῶν—κατὰ τέττιγα* Fried., *τῶν τι—κατά τινα* Herch. (ed.) | 10 *ποικιλίαν*] *ποικίλων* *Neap.*^{a} | *δαψιλῆ*] *δαψιλῶς* *Neap.*^{a} | 11 *ὡς αὑτὸν* *Γ*, *ὡς αὐτὸν* cet., *ἄσωτον* vel *ἀσώτως* Arnald., *ὡσαύτως* Gloss. Eichst., *Ἐρώτιον* Reisk., *ὡς αὑτὸν* ⟨*ἕλκων*⟩ Mein., *νεανίσκην* Maehl., om. Herch. (ed.) | *ἐνηγκαλίζετο*] *ἐγκεκαλίζετο* *Neap.*^{a} | 13 *τοῦτο*] *τοῦτι* *Ven.*, *τουτὶ* Mein. | 13 *καὶ—ἡδομένου*] om. *Neap.*^{a} | 14 *μὲν*] om. x^1 | *οὔρει*] *ἐούρει* Lehmann., sed cf. III 4, 4 | 15 *καὶ*] *δὲ καὶ* Harl. | 17 [*ὁρώντων*] del. Cob. | 18 *ἀρχὴν*] *ἀρχὴν καὶ* *Ven.* | *ὥστε*] *ὡς* Neap.^{a} | 19 *ἔτι* Reisk., *ἔστι* *O*, *ἦν* vel [*ἔστι*] Mein., *ἔτι ἦν* Cob.

τῶν παρασίτων οὐδεὶς ἔτι λόγος· τὸ γὰρ θέαμα καὶ 10
τὴν θυμηδίαν παρεῖχεν οὐδεὶς τῶν εἰς τοῦτο κεκλη[ρω]μένων, καίτοι γε καὶ Φοιβάδης ὁ κιθαρῳδὸς καὶ μῖμοι γελοίων οἱ περὶ Σαννυρίωνα καὶ Φιλιστί[α]δην οὐκ ἀπελείποντο. ἀλλὰ πάντα φροῦδα καὶ οὐκ ἀξιόχρεα, εὐδοκίμει δὲ μόνος ὁ τῶν σοφιστῶν λῆρος.

20 [III 56].

Θαμβοφάγος Κυπελ⟨λ⟩ιστῇ.

Ἐπαίρεις σαυτὸν οὐδὲν δέον καὶ τύφου πλήρης εἶ καὶ βαδίζεις ἴσα [μὴ δεῖ], τοῦτο δὴ τὸ τοῦ λόγου, Πυθοκλεῖ, καὶ ἀρίστων ἀποφέρῃ μερίδας, τὰς σπυρίδας 2
καθ' ἡμέραν ἐξογκῶν σὺ μεγέθει λειψάνων. οὐκοῦν καθάπερ πρῴην Ἀρητάδης ὁ γραμματικὸς ἐποίει, Ὁμήρου ὡς ἔφασκεν ἐπιλέγων στιχίδιον εὐμηχάνως αὐτῷ πρὸς

x *(Harl. Ven.) Neap.*[a] (hic usque ad III 20) x[1] (*Γ Vat. 1* [hic subsistens ad III 20])

2 [ρω] del. Bergl., *πεπληρωμένων* Mein. | 3 *γε καὶ*] *γε* x[1] | *Φοιβάδης*] *Φοιβιάδης* x[1] | 4 *Σαννυρίωνα*] *Σαννουρίωνα* *Vat. 1*, *Σουσαρίωνα* Mein. | [α] del. Bergk., *Φιλιστίωνα* Bergl. | 5 *ἀπελείποντο*] *κατελείποντο* *Neap.*[a] | *ἀξιόχρεα* *Neap.*[a], *ἀξιόθεα* cet. | 6 *εὐδοκίμει*] *μει* om. *Ven.*, *εὐδόκιμος* Mein., *ηὐδοκίμει* Herch. (ed.) | *σοφιστῶν* x[1], *σοφῶν* cet. Illud Alc. semper de philosophis

7 *Θαμβοφάγος* *Γ* (in x est inscr. ep. praec.), *Θυμβροφάγος* Bergl., *Ἰαμβοφάγος* Mein., *Θαμβοφάγρος* Herch. (ed.) | ⟨λ⟩ add. Bergl. | 8 *οὐδὲν*] *οὐδὲ* *Ven.* | *καὶ—εἶ*] ante *τοῦτο* hab. *Γ*, del. Hemst. | 9 *ἴσα [μὴ δεῖ]* Ruhnk., *εἰς ἃ* (*ἅ* *Ven.*) *μὴ* (*οὐ* *Γ*) *δεῖ* *O*, *ἴσα δὴ* Bergl. | 10 *Πυθοκλεῖ* *Γ* man. sec., *Πυθομ καὶ* (sic) *Γ* man. pr., *Πυθόκλεια* x | *καὶ—μερίδας*] *καὶ ἀποφέρῃ μερίδας τῶν ἀρίστων* *Γ* | 11 *οὐκοῦν*] hic collocavit Pol., in *O* est post *μερίδας* (ubi plene interp.), non interpuncto post *λειψάνων* (ubi sign. interr. Mein. ed.) \ 12 Ἀρητάδης *Mein.* (ed.), *Ἀρπτάδης Harl.*, Ἀρπτάδης Ven., Ἀρπάδης Γ \ 13 *στιχίδιον*] *στίχον* x

τὰς ἁρπαγὰς τῶν βρωμάτων ἡρμοσμένον ʻκαὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαιʼ. πέπαυσο, κατάβαλε τὴν ἀλαζονείαν, τρισάθλιε, ἢ ἀνάγκη σε [τῆς οἰκίας] γυμνὸν θύραζε ἐν ἀκαρεῖ χρόνου [ἐκβληθέντα] ἐκπεσεῖν.

21 [III 57].

Οἰνόλαλος Ποτηρ⟨ι⟩οφλυάρῳ.

Οὐκ εἰς δέον οἰνωμένος ἐσκωψάμην τὸν τροφέα τοῦ νεανίσκου Ζώπυρον. ἐξ ἐκείνου γὰρ ἴσως διαβολῇ τυπεὶς τὰ ὦτα περὶ τὰς δόσεις κατέστη μικροπρεπέστερος καὶ φειδωλῷ τῷ μέτρῳ κέχρηται. εἰωθὼς γὰρ ἐν ταῖς ἑορταστικαῖς τῶν ἡμερῶν ἢ χιτώνιον ἢ τριβώνιον ἢ ἐφεστρίδα πέμπειν, ἔναγχος Κρονίων ἐνστάντων [ὑποδήματα] Ἰφικρατίδας μοι νεουργεῖς ἔπεμψε τῷ
2 *Δρόμωνι δοὺς κομίζειν. ὁ δὲ ἐπὶ ταύταις ἐβρενθύετο καὶ μισθοὺς τῆς διακονίας ἀπῄτει, ἐγὼ δὲ δάκνομαι καὶ τὴν προπετῆ γλῶτταν διαμασ[σ]ῶμαι καὶ ὀψὲ τῆς*

x (*Harl. Ven.*) *Γ*

1 ἁρπαγὰς] *ἀρχὰς* x | ʻ*καὶ—φέρεσθαι*ʼ] Od. XV 378 | 3 [*τῆς οἰκίας*] del. Cob., *γυμνὸν τῆς οἰκίας Γ*, *τῆς οὐσίας γυμνὸν* Mein. | 4 *θύραζε*] del. Mein. | *χρόνου*] *χρόνῳ* x | *ἐκβληθέντα*] del. Mein., *ἐκβληθέντα* (*ῆναι* supra) x | 5 *ἐκπεσεῖν*] om. x, sed cfrt Ar. Plut. 244 Cob.

6 *Οἰνόλαλος*] *Οἰνόλαος* x | ⟨*ι*⟩ add. Bergl., *κυπελλιστῇ* x (vid. inscr. III 20) | 7 *ἐσκωψάμην*] fort. *ἔσκωψα* | 8 *τοῦ* Reitz., *τὸν Γ*, *τὸν νεανίσκον Ζώπυρον τὸν τροφέα* x, *τοῦ νεανίσκου τὸν τροφέα Ζώπυρον* Herch. (ed.) | 9 *περὶ—μικροπρεπέστερος*] *μικροπρεπέστερος περὶ τὰς δόσεις κατέστη* x | 10 *φειδωλῷ τῷ*] *φειδωνείῳ* Cob., *φειδωνίῳ* Herch. (ed.) | post *κέχρηται* add. *περὶ τὰς δαπάνας* x | 13 [*ὑποδήματα*] del. Bergl. | post *Ἰφικρατίδας* add. *τινάς* Herch. (ed.) | *νεουργεῖς* Bergl., *νεουργῆ εἰς Γ*, pro *ὑποδήματα—ἀπῄτει* hab. *οὐδὲ προσέβλεψεν* x | 14 *ταύταις*] *τούτῳ* Seil. | 16 [*σ*] del. Seil. (ed.). Cf. III 15,2

ἁμαρτίας αἰσθάνομαι. ὅταν γὰρ τὸ ῥεῦμα τῶν λόγων μὴ καθηγουμένης ⟨τῆς⟩ διανοίας φέρηται, ἀνάγκη τὴν γλῶτταν τηνικαῦτα προσκρούειν καὶ σφάλλεσθαι.

22 [III 58].

Ἀλοκύμινος Φιλογαρελα[δ]ίῳ.

Οὐδὲν προτιμῶ σου, κἂν ἀπειλῇς ψιθυριεῖν κατ' ἐμοῦ· [καὶ] καττύεις διαβολὰς ἀνηνύτους. ἁπλοϊκὸς γὰρ καὶ γενναῖος ὁ Μαλιεὺς οὗτος στρατιώτης ὁ βόσκων ἡμᾶς τὰ νῦν δὴ ταῦτα, καὶ τοσοῦτον ἀπέχει τοῦ ζηλοτυπεῖν τὰς ἑταίρας, ὡς πρῴην λόγου ῥυέντος αὐτῷ ἐπὶ τοῦ συμποσίου, πολλὴν κατέχεε βλασφημίαν τῶν τὰ τοιαῦτα ὑπομενόντων. ἔλεγε γὰρ γαμεταῖς ἐπι- 2
κλήροις οἰκουρίαν πρέπειν καὶ τὸν σεμνὸν βίον, τὰς ἑταίρας δὲ δεῖν εἶναι πάντων ἀναφανδὸν καὶ πᾶσιν ἐκκεῖσθαι τοῖς βουλομένοις· ὅνπερ οὖν τρόπον τοῖς λουτροῖς καὶ τοῖς σκεύεσι κοινοῖς κεχρήμεθα, κἂν ἑνὸς εἶναι δοκῇ, οὕτως καὶ ταῖς εἰς τοῦτον ἀπογραψαμέναις

x *(Harl. Ven.)* Γ

3 ⟨τῆς⟩ add. Bergl. (ed.) | ἀνάγκη—σφάλλεσθαι.] τότε σφάλλεσθαι τὴν γλῶτταν ἀνάγκη. ἔρρωσο. Γ
4 inscr. omitt. x | [δ] del. Ruhnk. | 6 [καὶ] καττύεις Bergl., καὶ καττύειν *O*, καὶ καττύῃς Wagn. (ed.), καὶ καττύσειν Mein. (ed.), ὡς καττύεις Pol. | ἀνηνύτους Reisk., ἀγεννήτους x, ἀγεννήτους Γ, ἀγεννεῖς Bergl. (ed.), ἀτέγκτους Hemst., ἀγεννήτους Mein. (ed.) | 7 οὗτος] post στρατιώτης hab. Γ | 9 τὰς ἑταίρας Pierson., τὰς ἑορτάς *O*, τοὺς ἐρῶντας Bergl., τοὺς ἐραστὰς Hemst. | ὡς] ὥστε Cob. | λόγου—συμποσίου] aut delendum aut legendum ῥηθέντος pro ῥυέντος censet Herm. | 11 post τοιαῦτα add. μὴ Mein. | post γαμεταῖς add. καὶ Hemst. | 12 πρέπειν] πρέπον *Ven.* | σεμνὸν] γυμνὸν Γ | βίον] βίον καὶ Γ | 15 τοῖς σκεύεσι] ταῖς στοαῖς Bergl., τοῖς σκήνεσι *Bernard.* | κοινοῖς] ὁμοίως Jacobs. | κεχρήμεθα] χρώμεθα *Cob.* | κἂν—δοκῇ Bergl., καὶ—δοκεῖ O

3 τὸν βίον. εἰδὼς οὖν τηνάλλως τὴν διαβολήν σου χωρήσουσαν, τρέμε ἐνδακὼν τὸ χεῖλος, ὡς οἱ τὸν Σίγηλον ἥρω παριόντες, μή κακόν τι προσλάβῃς· οὐ γάρ ἐστι τῶν Ἀττικῶν τούτων εἷς τῶν χαύνων μειρακίων, ἀλλ' ἀνὴρ ὁπλομάχος καὶ ἀρήιος, παρ' ᾧ κολακείας καὶ διαβολῆς τρόπος ἔρρει. ἀνάγκη δὲ τὸν διαβολὰς μὴ προσιέμενον τοῖς διαβάλλουσιν ἀπεχθάνεσθαι.

23 [III 59].

Λιμέντερος Ἀμασήτῳ.

Παρ' ἕνα τινὰ τῶν τὰ πινάκια παρὰ τὸ Ἰακχεῖον προτιθέντων καὶ τοὺς ὀνείρους ὑποκρίνεσθαι ὑπισχνουμένων βούλομαι ἐλθὼν τὰς δύο ταύτας δραχμάς, ἃς οἶσθά με ἐν χερσὶν ἔχοντα, καταβαλὼν τὴν φανεῖσαν
2 ὄψιν μοι κατὰ τοὺς ὕπνους διηγήσασθαι. οὐ χεῖρον δὲ καὶ πρὸς σὲ ὡς φίλον ἀναθέσθαι τὸ καινὸν τοῦτο καὶ πέρα πάσης πίστεως φάσμα. ἐδόκουν γὰρ [κατ' ὄναρ] εὐπρεπὴς εἶναι νεανίσκος καὶ οὐχ ὁ τυχών, ἀλλ' ἐκεῖνος [εἶναι] ὁ Ἰλιεὺς ὁ περίψυκτος καὶ περικαλλής, ὁ τοῦ

x (*Harl. Ven.*) *Γ*

1 τὴν] om. x | χωρήσουσαν Bergl. (ed.), χωρήσασαν *O* | τρέμε] τρέμω *Γ* | 2 ἐνδακὼν] δακὼν x | Σίγηλον cl. Eust. ad Od. 1967, 36 Mein., σίγηλον *Γ*, σιγηλὸν x | 3 προσλάβῃς] προσλάβωμαι *Γ* | 4 τούτων εἷς] τοῦτον εἷς x, τουτωνὶ Cob. | 5 κολακείας] κολακεία *Γ* | 6 διαβολὰς μὴ] μὴ διαβολὰς *Γ*

8 Λιμέντερος] Λιμόντερος *Ven.* | Ἀμασήτῳ] Ἀμασίῳ x, Αἰνοσίτῳ Herel., Ἀμάστῳ Mein. | 12 χερσὶν scripsi, χεροῖν *O* (ἐν χεροῖν με x, unde ἐνέχυρόν με Mein.) | καταβαλὼν Bergl. (ed.), βαλὼν x, καταβαλόντα *Γ* | 14 καινὸν] κενὸν *Ven.* | 15 πάσης] ἁπάσης x | post φάσμα add. καὶ ζήτημα x, unde τὸ καινὸν τοῦτο ζήτημα καὶ πέρα—φάσμα Pol. | [κατ' ὄναρ] del. Cob. Cf. II *2, 1 et 2* | *17* [εἶναι] exp. Bergl., οἶμαι Reisk., νὴ Δία Mein. | περίψυκτος Bergl., περίψηκτος *Γ*, περίπυστος Harl., om. Ven. | περικαλλής] περικάλλιστος *Γ*

*Τρωὸς παῖς Γανυμήδης, καὶ καλαύροπα ἔχειν καὶ σύ-
ριγγα, καὶ τιάρᾳ Φρυγίῳ σκέπειν τὴν κεφαλὴν ποιμαίνειν
τε καὶ εἶναι κατὰ τὴν Ἴδην. ἐξαίφνης δὲ ἐπιπτάντα μοι* 3
*γαμψώνυχα καὶ μέγαν ἀετόν, γοργὸν τὸ βλέμμα καὶ
ἀγκυλοχείλην τὸ στόμα, κουφίσαντά με τοῖς ὄνυξιν ἀφ'
οὗπερ ἐκαθήμην πέτρου μετεωρίζειν εἰς τὸν ἀέρα καὶ
πελάζειν τοῖς οὐρανίοις τόποις ἐπειγόμενον· εἶτα μέλ-* 4
*λοντα ψαύειν τῶν πυλῶν αἷς αἱ Ὧραι ἐφεστᾶσι, κεραυνῷ
βληθέντα πεσεῖν, καὶ τὸ ὄρνεον οὐκέτι εἶναι τὸν δι-
πετῆ καὶ μέγαν ἀετόν, γῦπα δὲ πικρὸν ὀδωδότα, ἐμὲ
δὲ τοῦτον ὅς εἰμι Λιμέντερον, γυμνὸν πάσης ἐσθῆτος,
οἷα πρὸς λουτρὸν ἢ παλαίστραν ηὐτρεπισμένον. ἐκτα-* 5
*ραχθεὶς οὖν ὡς εἰκὸς ἐπὶ τοσούτῳ πτώματι διηγ[ει]-
ρόμην, καὶ πρὸς τὸ παράδοξον τῆς ὄψεως ἀγωνιῶ καὶ
δέομαι οἷ φέρει τὸ ὄναρ μαθεῖν παρὰ τῶν τὰ τοιαῦτα
ἀκριβούντων, εἰ μέλλει τις ἀπλανῶς εἰδέναι καὶ εἰδὼς
ἀληθίζεσθαι.*

x (*Harl. Ven.*) *Γ*

1 *Γανυμήδης*] del. Nab. | 2 *σκέπειν*] *στέφειν Γ* | 3 *καὶ εἶναι*] del. Cob. | *ἐπιπτάντα Γ, ἐπιστάντα* x | 4 *γαμψώνυχα*] *γαμψώνυχον Harl., γαμψώνυχοι Ven.* | 7 *ἐπειγόμενον*] *κατεπειγόμενον Harl.* | post *μέλλοντα* add. *τότε Γ* | 8 *ψαύειν*] *ψάβην* (sic) *Ven.* | 9 *τὸ ὄρνεον*] *τὸν ὄρνιν Γ* | *εἶναι*] post *μέγαν* hab. *Γ* | *διιπετῆ*] *διιπετὴν Ven., διοπετῆ Γ* | 10 *καὶ*] *τὸν Γ* | *πικρὸν* Bergl., *μικρὸν O, μιαρὸν* Mein. | 10—12 *ἐμὲ—ηὐτρεπισμένον*] om. x pergens: *ἐγὼ δὲ διαταραχθεὶς ὡς εἰκὸς* (*ἐπιεικὸς Ven.*) | 13 [*ει*] del. Cob., qui (ex *Γ* ubi *ἐξηγειρόμην*) voluit *ἐξηγρόμην* | 14 *καὶ*] *καὶ* ⟨*νῦν*⟩ Mein. | *δέομαι*] *δεῖ μοι* Wagn. | 15 *φέρει*] *ῥέπει* Cob. | 16 *μέλλει*] *μέλλοι Γ* | 17 *ἀληθίζεσθαι*] *ἀληθίσασθαι* x

24 [III 60].

Χασκοβούκης Ὑπνοτραπέζῳ.

*Οὐκέτι εἰσῆλθον εἰς τὴν Κόρινθον· ἔγνων γὰρ ἐν
βραχεῖ τὴν βδελυρίαν τῶν ἐκεῖσε πλουσίων καὶ τὴν
τῶν πενήτων ἀθλιότητα. ὡς γὰρ ἐλούσαντο οἱ πολλοὶ
καὶ μεσοῦσα ἦν ἡμέρα, στωμύλους ἐθεασάμην καὶ εὐ-
φυεῖς νεανίσκους, οὐ περὶ τὰς οἰκίας ἀλλὰ περὶ τὸ
Κράνειον εἰλουμένους καὶ οὗ μάλιστα ταῖς ἀρτοπώλισι
2 καὶ ὀπωροκαπήλοις ἔθος ἀναστρέφεσθαι. ἐνταυθὶ γὰρ
εἰς τοὔδαφος ἐπικύπτοντες ὁ μὲν φλοιοὺς θέρμων
ἀνῃρεῖτο, ὁ δὲ τὰ ἔλυτρα τῶν καρύων ἐπολυπραγμόνει
μή πού τι τῶν ἐδωδίμων ⟨ἐν⟩απομεῖναν διέλαθεν, ὁ
δὲ τῶν ῥοιῶν τὰ περικάρπια, ἃ σίδια ἡμῖν τοῖς Ἀττι-
κοῖς προσαγορεύειν ἔθος, ἀπέγλυφε τοῖς ὄνυξιν εἴ πού
τι τῶν κόκκων ἔτι δράξασθαι δυνηθείη, οἱ δὲ καὶ τὰ
ἐκ τῶν ἄρτων ἀποπίπτοντα πρὸς πολλῶν ἤδη πεπατη-
3 μένα ἀναλέγοντες ἔκαπτον. τοιαῦτα τὰ τῆς Πελοπον-
νήσου προπύλαια καὶ ἡ δυοῖν θαλάσσαιν ἐν μέσῳ
κειμένη πόλις, χαρίεσσα μὲν ἰδεῖν καὶ ἀμφιλαφῶς ἔχουσα*

x *(Harl. Ven.)* *Γ*

1 *Χασκοβούκης*] *Βουκοχάσκης* cl. III 14 Seil. Hoc nom., nec non *Βουκοπνίκτης* (III 14) et *Βουκίων* (III 7), formatum esse a 'bucca', recte censet v. Yzeren | *Ὑπνοτραπέζῳ*] *Ἰπνοτραπέζῳ* Seil. | 2 *εἰσῆλθον*] *ἐπανῆλθον* Pol. | 2—3 *ἐν—βδελυρίαν*] ord. inv. x | 4 *πολλοὶ*] *πλούσιοι* Schwarz | 5 *ἦν*] post *ἡμέρα* hab. *Γ* | 7 *εἰλουμένους*] *εἰλουμένους Ven.*, *ἀλωμένους* Bergl. (ed.) | 8 *ἀναστρέφεσθαι* Cob., *ἀναστρέφειν O* | *ἐνταυθὶ*] *ἐνταυθοῖ Γ* | 10 *τὰ ἔλυτρα*] *εὐλύπαρα Ven.* | 11 ⟨*ἐν*⟩ add. Bergl , *ἀπομείναν* (sic) *Harl.*, *ἀπομεῖναι Ven.* | *διέλαθεν*] om. *δι* x | 14 *τι*] *τινος* Herch. (ed.) | *ἔτι δράξασθαι* Bergl., *ἐπιδράξασθαι O* | *οἱ*] *ἐν Ven.* | 16 *ἔκαπτον* Bergl., *ἔλαπτον* x, *ἔχαπτον (mut. in ἔχαμπτον) Γ* | *τὰ*] om. x \ τῆς Πελοποννήσου\ *τοῖς Πελοποννησίοις* x | 17 *καὶ ἡ*] ἡ δὲ x

τρυφημάτων, τοὺς οἰκήτορας δὲ ἀχαρίστους καὶ ἀνεπαφροδίτους κεκτημένη· καίτοι γέ φασι τὴν Ἀφροδίτην ἐκ Κυθήρων ἀνασχοῦσαν τὴν Ἀκροκόρινθον ἀσπάσασθαι· εἰ μὴ ἄρα τοῖς μὲν γυναίοις Ἀφροδίτη πολιοῦχος τοῖς δὲ ἀνδράσιν ὁ Λιμὸς καθίδρυται.

25 [III 61].

Σκορδοσφράντης Μεριδᾷ.

Ἡράκλεις, ὅσα ὑπέστην πράγματα ῥύμ⟨μ⟩ατι καὶ
νίτρῳ Χαλαστραίῳ χθιζινοῦ ζωμοῦ ~~τούμοι~~ περιχυθέντος
τὴν γλισχρότητα ἀποκαθαίρων. καὶ οὐχ οὕτω με ἔδακ-
νεν ἡ ὕβρις ὅσον τὸ διάφορον τοῦ ὑβρίζοντος. ἐγὼ μὲν 2
γὰρ Ἀνθεμίωνος υἱὸς τοῦ πλουσιωτάτου τῶν Ἀθήνησι
καὶ Ἀξιοθέας τῆς κατὰ γένος ἐκ Μεγακλέους ὡρμη-
μένης, ὁ δὲ ταῦθ' ἡμᾶς ἐργαζόμενος πατρὸς μὲν ἀσήμου
μητρὸς δὲ βαρβάρου, Σκυθίδος οἶμαι ἢ Κολχίδος ἐν
νεομηνίᾳ ἐωνημένης· οὕτω γάρ μοι τῶν γνωρίμων
τινὲς διηγήσαντο. ἀλλ' ἐγὼ μὲν ⟨ἐν⟩ ταπεινῷ τῷ 3
σχήματι, τὴν πατρῴαν ἀποβαλὼν οὐσίαν, ἀγαπῶ τὴν

x (*Harl. Ven.*) Γ

1 δὲ] post τοὺς hab. Γ | ἀχαρίστους] ἀχαρίτους Cob. | 6 Σκορδοσφράντης Μεριδᾷ Mein., Μεριδᾶς Σκορδοσφράντη x, Μεριδᾶς Κοδροσφράντη Γ, Χονδροσφράντης vel Σκοροδοσφράντης Μεριδᾷ Seil. Nomina permutavit Bergl. cl. ep. fin. | 7 ⟨μ⟩ add. Bergl. (ed.), ῥύματα Γ | 8 χθιζινοῦ ζωμοῦ] ζωμοῦ τοῦ χθιζινοῦ x | τούμοὶ—ἀποκαθαίρων] περιχυθεὶς x | 9 ἔδακνεν] ἔδακεν Γ | 10 τὸ διάφορον] τὸ δι' ἄφον *Ven.*, τὸ παρ' ἀξίαν Γ (ubi ὑπομένειν pro τοῦ ὑβρίζοντος), τὸ ἀνάξιον Pol. | μὲν] om. x | 11 τοῦ] τοῦ ⟨πάλαι⟩ Nab. | 12 κατὰ—ὡρμημένης Bergl., κατὰ—ὁρμωμένης (mut. in ὡρμωμένης) Γ, Μεγακλέους ὡρμωμένης κατὰ γένος x, del. κατὰ γένος Mein. \ 13 ἡμᾶς *Bergl.*, ἡμῖν Ο | 14 ante οἶμαι hab. δὲ Γ \ 16 ⟨ἐν⟩ add. *Hemst.*

ἀναγκαίαν ἐκπορίζων τῇ γαστρὶ τροφήν. Δωσιάδης δ', ὦ θεοί, τὴν Πνύκα καταλαμβάνει δημηγορῶν κἂν τοῖς ἐν Ἡλιαίᾳ καταριθμεῖται δικάζουσι καὶ τὰς ἡνίας ἔχει τοῦ δήμου, παρ' ᾧ Μιλτιάδης ἐδέδετο ὁ τὸ ἐν Μαραθῶνι τρόπαιον ἐγείρας, καὶ Ἀριστείδης ὁ δίκαιος ἐξωστρακίζετο. λυπεῖ δέ με οὐχ ἥκιστα πρὸς τοῖς ἄλλοις
4 *καὶ ἡ τῆς προσηγορίας ἀποβολή. οἱ μὲν γὰρ πατέρες Πολύβιόν με ἔθεντο καλεῖσθαι, ἡ τύχη δὲ ἀμείψασα τοὔνομα Σκορδοσφράντην πρὸς τῶν ὁμοτέχνων ἠνάγκασε προσαγορεύεσθαι.*

26 [III 62].

Χιδρολέπισος Καπυροσφράντῃ.

Ἐπίστασο τὴν αἰτίαν, ἐφ' ᾗ με διεσίλλαινον αἱ γυναῖκες, τελευταῖον δὲ ἡ γραῦς ἡ δούλη ἐλοιδορήσατό μοι εἰποῦσα 'ἀλλ' ἐκκορηθείης ὅτι ἄκαιρος εἶ καὶ λάλος'. μυστήριον ἐν αὐταῖς [σ]τρέφεται ⟨τῶν⟩ ταῖν θεαῖν ταῖν Ἐλευσινίαιν ἀσφαλέστερον, καὶ βούλονται ἡμᾶς ἀγνοεῖν

x *(Harl. Ven.)* *Γ*

1 *ἐκπορίζων* Bergl., *ἐκπορίζειν O* (*τῇ γαστρὶ τὴν ἀναγκαίαν πλησμονὴν Γ*) | *Δωσιάδης* Valck., *Δοσιάδης O* | 2 *Πνύκα*] *Πύκνα* Cob. | *κἂν* Seil., *καὶ O*, *καὶ* et ⟨*ἐγ*⟩*καταριθμεῖται* vel ⟨*συγ*⟩*καταριθμεῖται* Bergl., *καὶ* et *μεταριθμεῖται* Schäfer | post *Ἡλιαίᾳ* add. *καὶ αὐτὸς* x, unde [*δικάζουσι*] *καὶ αὐτὸς καὶ τὰς* vel *καὶ αὐτὸς δικάζουσι* Mein. | 4 post *Μιλτιάδης* add. *γραμματικὸς* x | *ὁ τὸ* Bergl., *ὅ τι O* | 5 *ἐξωστρακίζετο*] *ἐξωστράκιστο* Mein. | 9 *τῶν*] om. x | *ἠνάγκασε*] *ἠνάγκασθαι* (sic) x

11 *Χιδρολέπισος*] *Σκοδρολέπισος* x, *Σκορδολέπισος* Mein., *Σκοροδολέπισος* Herch., sed *Σκοδρο-* ortum videtur ex ep. praec. | *Καπυροσφράντῃ*] *Καπνοσφράντῃ* Reisk., *Καπροσφράντῃ* vel *Καππαροσφράντῃ* Seil. | 12 *ἐπίστασο* Bergl., *ἠπίστασο O* | 14 *ἐκκορηθείης*] *ἐκκουριασθείης Γ* | 15 *αὐταῖς*] *αὐταῖν* x | *[σ]* del. Mein., *τρέφεσθαι* x | ⟨*τῶν*⟩ add. Herw. | *ταῖν*] *τῶν* Ven., *τοῖν* et *θεοῖν τοῖν Ἐλευσινίοιν* Cob. | 16 *ἀσφαλέστερον*] *ἀφανέστερον* Maehl.

τοὺς εἰδότας· ἢ καὶ οἴονται ἀκηκοότας οὔπω πεπεῖσθαι.
ἐγὼ δὲ οἶδα τὸ δρᾶμα καὶ ὅσον οὐκ εἰς μακρὰν κατερῶ 2
τῷ δεσπότῃ· οὐ γὰρ βούλομαι χείρων φανῆναι τῶν
κυνῶν, αἳ τῶν τρεφόντων προ[σ]ϋλακτοῦσι καὶ κήδον-
ται· μοιχὸς πολιορκεῖ τὴν οἰκίαν, ὁ Ἠλεῖος νεανίσκος,
[ὁ] εἷς τῶν Ὀλυμπίασι βασκάνων. καὶ πρὸς τοῦτον
γραμματίδια ὁσημέραι φοιτᾷ δίθυρα παρὰ τῆς γαμετῆς
τοῦ τρέφοντος ἡμᾶς καὶ στέφανοι ἡμιμάραντοι καὶ μῆλα
ἀποδεδηγμένα· αἱ δὲ ἀλάστορες αὗται θεραπαινίδες 3
συνί⟨σ⟩ασι καὶ ἡ ἐπιτύμβιος γραῦς, ἣν Ἔμπουσαν ἅπαν-
τες οἱ κατὰ τὴν οἰκίαν καλεῖν εἰώθασιν ἐκ τοῦ πάντα
ποιεῖν καὶ βιάζεσθαι. ἐγὼ δὲ οὐκ ἔσθ' ὅπως σιγήσομαι·
βούλομαι γὰρ ἐμαυτὸν οὐ παράσιτον ἀλλὰ φίλον ἐπιδεῖ-
ξαι, καὶ ἄλλως διψῶ τῆς κατ' αὐτῶν τιμωρίας. οἶδα 4
γὰρ οἶδ'· εἰ ταῦτα εἰς φανερὸν ἀχθείη, αἱ μὲν θερα-
παινίδες δεδήσονται, ὁ μοιχὸς δὲ ἀπολεῖται ῥαφάνοις
τὴν ἕδραν βεβυσμένος, ἡ μιαρὰ δὲ γυνὴ τίσει τὴν
ἀξίαν τῆς ἀκολασίας δίκην, εἰ μὴ Πολυάγρου τοῦ κυρ-
τοῦ μαλακώτερός ἐστι τὰ τοιαῦτα Λυσικλῆς. ἐκεῖνος
γὰρ λύτρα παρὰ τῶν μοιχῶν ἐπὶ τῇ γαμετῇ πραττό-
μενος ἀθῴους τῆς τιμωρίας ἠφίει.

x (*Harl. Ven.*) Γ

1 *ἢ καὶ οἴονται* Davis., *ἢ καὶ οἷόν τε Γ, οἱ δὲ εἰ οἷόν τε Harl., οἳ καὶ εἰ οἷόν τε Ven., ἢ καὶ οἷόν ἐστιν* Reisk. | *οὔπω*] *οὕτω Γ* | 4 [σ] del. Bergl. (ed.), *προφυλακτοῦσι* Mein. (ed.) | 6 [ὁ] del. Mein., del. εἷς Pol. | *πρὸς* Bergl., *παρὰ O* | *τοῦτον*] *τούτων Γ* | 7 *φοιτᾷ δίθυρα*] Hemst., *φοιτᾷ ἰδίουρα O* (om. *φοιτᾷ* x), *φοιτᾷ ἰδιόχειρα* Bergl. | *παρὰ*] *περὶ Γ* | 10 ⟨σ⟩ add. Bergl. | *ἡ*] om. *Ven.* | 12 *βιάζεσθαι*] *πάσχειν* Herw. | *ἔσθ'* Bergl., *οἶδ' O* | *σιγήσομαι*] *σιγημαι σε* (sic) *Ven.* | 15 *οἶδ' εἰ*] *οἶδα Ven., ὅτι εἰ* Bergl. | 16 *δεδήσονται*] *δεθήσονται* Cob. | 18 *Πολυάγρου*] *Πολιάγρου* Γ | 19 μαλακώτερός] κακώτερός Γ, *βλακικώτερός* Cob. | 21 τῆς τιμωρίας] del. Cob., sed cf. II *38 i. f.*

27 [III 63].

Φιλομάγειρος Πινακοσπογγίσῳ.

Οἷα βουλεύονται καὶ διανοοῦνται αἱ θεοῖς ἐχθραὶ λαιστρυγόνες αὗται τῇ κεκτημένῃ συμπράττουσ⟨α⟩ι· καὶ οἶδε τούτων οὐδὲν ὁ Φαιδρίας. μηνὶ πέμπτῳ μετὰ τοὺς γάμους τέτοκεν αὐτῷ τὸ γύναιον παιδίον ἄρρεν· τοῦτο μετὰ τῶν σπαργάνων δέραιά τινα καὶ γνωρίσματα περιθεῖσαι ἔδοσαν Ἀσφαλίωνι τῷ συργάστρῳ κομίζειν ἐπὶ τὰς ἀκρωρείας τῆς Πάρνηθος. ἡμᾶς δὲ τέως μὲν ἀνάγκη κρύπτειν τὸ κακὸν καὶ πρὸς τὸ παρὸν σιγᾶν.
2 *[ἡ σιγὴ δέ ἐστι τοῦ θυμοῦ τροφή.] ἐπειδὰν δέ τι κἂν βραχὺ λυπήσωσι, κόλακα καὶ παράσιτον ἐξονειδίζουσαι καὶ τὰς ἄλλας ἃς εἰώθασιν ὕβρεις ἐπιφέρουσαι, εἴσεται τὸ γεγονὸς ὁ Φαιδρίας.*

28 [III 64].

Τουρδοσύναγος Ἐφαλλοκύθρῃ.

Ὁ μὲν Κρίτων ὑπ' ἀ⟨γ⟩νοίας καὶ ἀρχαιότητος τρόπου τὸν υἱὸν εἰς φιλοσόφου φοιτᾶν ἐπέτρεψε, τὸν

x *(Harl. Ven.) Γ*

1 *Πινακοσπογγίσῳ Harl., Πινακοσπόγγῳ Γ.* In *Ven.* est *ἡ ἑρμηνία (-εία?) ἐγραφικάτου (ἐγράφη κάτω?) τῆς ἐπιστολῆς ταύτης* | 2 *βουλεύονται] βούλονται* x | 3 *λαιστρυγόνες] λαικάστριαι* Bergl., *ἀλάστορες* vel *λαισπύγονες* Mein., *τρεῖς Γοργόνες* Metr. | *αὗται] αὗται ⟨αἱ⟩* Reisk. | ⟨α⟩ add. Bergl. | 4 *οὐδὲν] οὐδὲ Ven.* | 6 *τοῦτο] τούτῳ* (o supra ω) x | *δέραιά] περιδέραιά* x | 7 *ἔδοσαν] ἔδοξαν Γ* | *συργάστρῳ] συργάστορι Γ* | 9—10 *σιγᾶν. [ἡ σιγὴ—τροφή.]* Cob., *σιγῴην. σιγὴ* (*σιωπὴ* x)—*τροφή. Ο*, *σιγῶμεν. [σιγὴ—τροφή.]* Seil. (ed.), *σιγῶ. [ἡ σιγὴ—τροφή.]* Mein. | 10 *δέ τι] ἔτι Ven.* | 11 *ἐξονειδίζουσαι] ὀνειδίζοντα Γ*
14 *Τουρδοσύναγος] Τουρδοσύμφαγος* Seil., *Τουρδοκύναγος* Mein. | *Ἐφαλλοκύθρῃ* x (qui quidem—ῃ, α supra), *Ἐφαλλοκύθρᾳ Γ*, *Ἐφαλλοχύτρᾳ* Reisk. | 15 ⟨γ⟩ add. Mein., *ὑπονοίας* x | 16 *ἐπέτρεψε] προὔτρεψε* Cob.

αὐστηρὸν πρεσβύτην καὶ ἀμειδῆ, τὸν ἐκ τῆς Ποικίλης,
ἐξ ἁπάντων τῶν φιλοσόφων καθηγεῖσθαι τοῦ παιδὸς
ἀξιώτατον ἡγησάμενος, ὡς ἂν παρ' αὐτῷ λόγων τινὰς
σκινδαλμοὺς ἐκμαθὼν ἐριστικὸς καὶ ἀγκύλος τὴν γλῶσ-
σαν γένηται. ὁ δὲ παῖς ἐς τὸ ἀκριβέστατον ἐξεμάξατο 2
τὸν διδάσκαλον· οὐ πρότερον γὰρ ⟨τῶν⟩ λόγων γενέ-
σθαι μαθητὴς ἀλλὰ τοῦ βίου καὶ τῆς ἀγωγῆς ἐσπούδασε.
θεασάμενος γὰρ τὸν διδάσκαλον τῇ ἡμέρᾳ μὲν σεμνὸν
καὶ σκυθρωπὸν καὶ τοῖς νέοις ἐπιτιμῶντα, νύκτωρ δὲ
περικαλύπτοντα τὴν κεφαλὴν τριβωνίῳ καὶ περὶ χα-
μαιτυπεῖα εἰλούμενον, ἐζήλωσεν ἐν καλῷ. καὶ πέμπτην 3
ταύτην ἡμέραν εἰς ἔρωτα Ἀκαλανθίδος τῆς ἐκ Κερα-
μεικοῦ κατολισθήσας φλέγεται· αὕτη δὲ ἐπιεικῶς ἔχει
πρὸς ἐμὲ καὶ ἐρᾶν ὁμολογεῖ, τῷ μειρακίῳ δὲ ἔτι ἀντι-
τείνεται ἠσθημένη τῷ πόθῳ τυφόμενον, καὶ οὐ πρότερόν
φησιν ἐπιδώσειν ἑαυτὴν πρὶν ἂν ἐγὼ τοῦτο ἐπιτρέψω·
ἐμὲ γὰρ κύριον τοῦ τὰ τοιαῦτα προστάττειν ἐποιήσατο.
πολλὰ καὶ ἀγαθὰ δοίης, Ἀφροδίτη πάνδημε, τῇ φιλτάτῃ 4
γυναικί· ἑταίρου γάρ, οὐχ ἑταίρας ἔργον διεπράξατο.
ἐξ ἐκείνου γὰρ θεραπεύομαι λιπαρῶς ἄλλοτε ἄλλαις

x (*Harl. Ven.*) *Γ*

3 ἀξιώτατον Mein. (ed.), ἀξιώτερον *O* | αὐτῷ] αὐτοῦ x | 4 σκινδαλμοὺς] σχινδαλαμοὺς (sic) Mein. (ed.), σχινδαλμοὺς Herch. (ed.) | ἐριστικὸς] ἐρωτητικὸς *Harl.*, ἐρωτικὸς *Ven.* | 6 πρότερον] μόνον Reisk., sed cf. Aesch. I 30 | ⟨τῶν⟩ add. Cob. | 7 ἀλλὰ] ἀλλὰ καὶ *Γ*, ἀλλὰ μιμητὴς Nab. | ἀγωγῆς] διαγωγῆς eraso δι *Harl.* | 8 μὲν] om. *Ven. Γ* | 10 τὴν] om. *Ven.* | χαμαιτυπεῖα Bergl., γαμετεῖα (αι supra ε) *Harl.*, γαμετεῖα *Ven.*, χαμαιτυπίας *Γ* | 11 εἰλούμενον] εἰλούμενος *Harl.*, εἰλούμενος *Ven.* | ἐν καλῷ] καλῶς Bergl., εὖ μάλα Reisk., at cf. II 17, 1 | 13 αὕτη Cob., αὐτὴ *O* | 14 ἔτι ἀντιτείνεται Arnald., ἐπανατείνεται O | 16 ἐπιδώσειν] ἐπιδόσει *Ven.* | ἐπιτρέψω] ἐπιστρέψω Ven. | 17 τὰ τοιαῦτα προστάττειν] ταῦτα πράττειν x | 18 δοίης] δοίην Γ | 20 λιπαρῶς] λιπαρὸς *Ven.*

δωροφορίαις. καὶ εἴ μοι ῥεύσειε τοῦ χρόνου προϊόντος δαψιλέστερος, οὐδὲν κωλύσει με τούτου γαμοῦντος ἐπίκληρον γυναῖκα ἐν γαμετῆς σχήματι τὴν Ἀκαλανθίδα λυσάμενον ἀναλαβεῖν. ἡ γὰρ τοῦ ζῆν αἰτία κοινωνὸς τοῦ ζῆν δικαίως ἂν κατασταίη.

29 [III 65].

Πηξάγκωνος Ῥιγομάχῳ.

Μέγα τοῦτο ἀγαθὸν ἡ ἐξ Ἰστρίας ναῦς, ἡ ἐπὶ τοῦ χώματος ὁρμοῦσα, ταῖς Ἀθήναις ἧκε φέρουσα τὸν θαυμαστὸν τοῦτον ἔμπορον, ὃς τοὺς πλουσίους τῶν Ἀθήνησι καὶ μεγαλοδώρους κίμβικας καὶ μικροπρεπεῖς ἀπέφηνεν· οὕτως κεχυμένως πρὸς τὰς δόσεις κέχρηται τῷ
2 βαλαντίῳ. οὐ γὰρ ἕνα παράσιτον ἐξ ἄστεος ἀλλὰ πάντας ἡμᾶς μεταπέμψας, καὶ οὐχ ἡμᾶς μόνον ἀλλὰ καὶ τῶν ἑταιρῶν τὰς πολυτελεστέρας καὶ ⟨τῶν⟩ μουσουργῶν τὰς καλλιστευούσας καὶ τοὺς ἀπὸ σκηνῆς ἀπαξαπλῶς εἰπεῖν ἅπαντας, οὐ τὴν πατρῴαν οὐσίαν τὰ δὲ ἐκ δικαίων

x *(Harl. Ven.)* Γ

1 εἴ Jacobs., ἢν *O.* Nunquam Alc. ἢν c. opt. | 2 δαψιλέστερος] δαψιλεστέρως Jacobs., ῥεύσειαν et δαψιλέστερον Wagn. An ῥεύσειαν—δαψιλέστεραι? Cfrt contra App. B. C. V 76 Pol.

6 Πηξάγκωνος] Πηξάγγωνος *Ven.* | Ῥιγομάχῳ] Ῥιχομάχῳ *Ven.*, Ῥυτομάχῳ Herch. Possis etiam Ῥινομάχῳ vel Ψιχομάχῳ. | 7 Ἰστρίας Wagn., Ἰστρία x, Ἰστείας Γ, Ἱστιαίας Gloss. Eichst., ἐκ Σήστου Valck. | 8 ὁρμοῦσα Dorvill., ὁρῶσα *O*, ὁρμῶσα Bergl. | ταῖς Ἀθήναις] τὰς Ἀθήνας Γ | 9 πλουσίους τῶν] πλουσίους τοὺς Bergl., πλουσιωτάτους τῶν vel πλουσίους τῶν Ἀθηναίων Cob. | An τοὺς Ἀθήνησι πλουσίους? | 11 κεχυμένως] ἐκκεχυμένως Cob., at cf. I 6, 2 | 13 μεταπέμψας] μεταπεμψάμενος Reisk. | 14 ἑταιρῶν] ἕτερον Ven. | ⟨τῶν⟩ add. *Mein.* | 15 ἀπὸ Schäfer, ἐπὶ O | 16 οὐ τὴν—τὰ δὲ] τήν τε—τά τε Reisk.

αὐτῷ ποριζόμενα σπαθᾷ. καὶ ψαλλόμενος καὶ καταυλούμενος ἥδεται, καὶ τὴν διατριβὴν ποιεῖται χαρίτων καὶ ἀφροδίτης γέμουσαν καὶ ὑβρίζει οὐδέν· ἔστι δὲ 3 καὶ ὀφθῆναι κεχαρισμενώτατος καὶ τὸ πρόσωπον αὐτοῦ τὰς Ὥρας ἐνορχουμένας ἔχει, καὶ τὴν Πειθὼ τῷ στόματι ἐπικαθῆσθαι εἴποις ἄν· προσπαῖσαί τε γλαφυρὸς καὶ λαλῆσαι στωμύλος 'οὕνεκα οἱ γλυκὺ Μοῦσα κατὰ στόματος χέε νέκταρ'. εἰπεῖν γὰρ οὐ χεῖρον κατὰ τοὺς παιδείᾳ σχολάζοντας ⟨τὸν⟩ ἐξ Ἀθηνῶν ὁρμώμενον, ἐν αἷς οὐδὲ εἷς τούτων ἄγευστος.

30 [III 66].

Γυμνοχαίρων Φαγοδαίτῃ.

Ἐθεάσω οἷά με εἰργάσατο ὁ κατάρατος οὗτος κουρεὺς ὁ πρὸς τῇ ὁδῷ; λέγω δὲ τὸν ἀδόλεσχον καὶ λάλον,

x (*Harl. Ven.*) *Γ*

1 αὐτῷ] αὐτῷ Seil. | ποριζόμενα] ποριζόμεθα x | ψαλλόμενος] καταψαλλόμενος Hirsch., at cf. II 21, 2 | 4 αὐτοῦ Wyttenb., αὐτῷ (o) *Harl.*, αὐτὸ *Ven.*, αὐτῷ *Γ*, τῷ προσώπῳ αὐτῷ Mein., idem sed αὐτῷ Seil., at cf. I 11, 3 | Ὥρας Herch. (ed.), Ὥρας αὐτὰς *Γ*, ἄλλας x, *Χάριτας* Mein. | ἐνορχουμένας et ἐπικαθῆσθαι Wyttenb., ἐπικαθημένας et ὀρχεῖσθαι *O*, idem sed ἐνορχεῖσθαι Bergl. (ed.), ἐπικαθημένας et ἐπικαθῆσθαι, vel ἐνορχεῖσθαι [ἔχει] et ἐπικαθῆσθαι Mein., mox (cl. I 11, 3) delens καὶ τὸ πρόσωπον — εἴποις ἄν | τῷ στόματι] τοῖς ὄμμασιν x | 6 προσπαῖσαι Bergl. (ed.), προσπεσεῖν *O*, προσπαίζειν Mein. (ed.) | 7 'οὕνεκα — νέκταρ'] Theocr. VII 82 | 8 οὐ χεῖρον] οὐ ⟨χρὴ⟩ χεῖρον Maehl., at cf. III 23, 2 | 9 ⟨τὸν⟩ add. Pol. | ὁρμώμενον] ὁρμώμενος x | 10 ἄγευστος Bergl. (ed.), ἄγεται *O*, ⟨ἄπειρος ἐν τιμῇ⟩ ἄγεται Mein.

11 Γυμνοχαίρων] *Γαμοχαίρων* Herel., *Γυμνοχάρων* vel *Ἀμνοχάρων* Herch., sed cf. III 10 inscr. Vertit 'qui nudis (tonsis) maxillis gaudet' Seil. | Φαγοδαίτῃ] Φαγοδάρτῳ Harl., Φαγοδαρδάρτῳ (sic) *Ven.*, Φαγοδαρδάπτῳ Mein. (ed.), Φαττοδαρδάπτῃ vel Φαγιλοδαρδάπτῃ vel etiam Φαγιλοδάπτῃ Herch. | 12 ἐθεάσω] ἤδη ἀκήκοας cl. I 14 init. Stang. | 13 ἀδόλεσχον] ἀκόρεστον x

*τὸν ⟨τὰ⟩ ἐκ Βρεντησίου προτιθέμενον ἔσοπτρα, τὸν
τοὺς χειροήθεις κόρακας τιθασ[σ]εύοντα, τὸν ταῖς μα-*
2 *χαιρίσι κυμβαλισμὸν εὔρυθμον ἀνακρούοντα. ὡς γὰρ
ἀφικόμην ξυρ[ι]εῖσθαι τὴν γενειάδα βουλόμενος, ἀσμέ-
νως τε ἐδέξατο καὶ ἐφ' ὑψηλοῦ θρόνου καθίσας σιν-
δόνα καινὴν περιθεὶς πράως εὖ μάλα κατέφερέ μοι
τῶν γνάθων τὸν ξυρὸν ἀποψιλῶν τὸ πύκνωμα τῶν*
3 *τριχῶν. ἀλλ' ἐν αὐτῷ τούτῳ πανοῦργος ἦν καὶ σκαιός·
ἔλαθε γὰρ τοῦτο παρὰ μέρος ποιῶν καὶ οὐ κατὰ πάσης
τῆς γνάθου, ὥστε ὑπολειφθῆναί μοι ἀλλαχοῦ μὲν δα-*
4 *σεῖαν ἀλλαχοῦ δὲ λείαν τὴν σιαγόνα. κἀγὼ μὲν οὐκ
εἰδὼς τὴν πανουργίαν ᾠχόμην κατὰ τὸ εἰωθὸς ἄκλητος
εἰς Πασίωνος. οἱ συμπόται δὲ ὡς εἶδον, ἐξέθανον τῷ
γέλωτι, ἕως ἀγνοοῦντά με ἐφ' ὅτῳ γελῷεν εἷς τις εἰς
μέσους παρελθὼν τῶν ὑπολειφθεισῶν τριχῶν ἐπιλαβό-*
5 *μενος εἵλκυσεν. ἐκείνας μὲν οὖν περιπαθῶς κοπίδα
λαβὼν ἀπερρίζωσα, ἕτοιμος δέ εἰμι ξύλον εὐμέγεθες
ἀνελόμενος κατὰ τοῦ βρέγματος πατάξαι τὸν ἀλιτήριον·*

x *(Harl. Ven.) Γ*

1 ⟨*τὰ*⟩ add. Cob. | *Βρεντησίου*] *Βροτησίου Γ* (inter *ο* et *τ* una litt. eras.) | *προτιθέμενον*] *προτεθειμένον* x | 1—2 *τὸν — κόρακας*] *τὸν ποιοῦντα χειροήθεις κόρακας καὶ* Seil., *τὸν τοὺς κόρακας χειροήθεις ποιοῦντα* Maehl., aut [*χειροήθεις*] aut *τὸν τοὺς κόρακας χειροήθεις τιθασεύοντα* Mein. | 2 [*σ*] del. Mein. (ed.) | 3 *εὔρυθμον*] *ἄρυθμον Ven.* | *ἀνακρούοντα*] *ἀνίοντα* (sic) *Harl., ἀκούοντα Ven.* | *γὰρ*] om. x | 4 [*ι*] del. L. Dindorf | *ἀσμένως*] *ἄσμενος* Cob., at cf. III 7, 2 | 5 *θρόνου*] *δίφρου* x | 6 *μοι*] *μου* Herch. (ed.) | 8 *καὶ σκαῖος*] *εἰκαῖος* Herm., *οὐ σκαιός* vel *καὶ βάσκανος* Pol., at cf. *σκαιότητα* II 19, 2 | 10 *ἀλλαχοῦ — ἀλλαχοῦ* Nauck., *πολλαχοῦ — πολλαχοῦ O* | 13 *εἰς Πασίωνος*] *ἐν συμποσίῳ Harl., ἐν συμποσί* (sic) *Ven.* | 14 *ὅτῳ*] *ᾧ τε* x | *γελῷεν Harl., γελῶσιν* cet. | 15 *ὑπολειφθεισῶν* Bergl., *ἀπολειφθεισῶν* O | 16 *περιπαθῶς*] *κακοπαθῶς* x | *κοπίδα*] *κοπίδας* x | 17 *ἀπερρίζωσα*] *ἀπέθριξα* Herw.

ἃ γὰρ ⟨οὐδ'⟩ οἱ τρέφοντες παίζουσι, ταῦτα μὴ τρέφων ἐτόλμησεν.

31 [III 67].

Διψαναπαυσίλυπος Πλακουντομύωνι.

Νεβ⟨ρ⟩ίδα ἰδὼν κανηφοροῦσαν, παρθένον καλλίπηχυν καὶ εὐδάκτυλον, ταῖς βολαῖς τῶν ὀφθαλμῶν ἀπαστράπτουσαν, εὐμήκη καὶ εὔχρουν, ἧς αἱ παρειαὶ μαρμαίρουσιν, οὕτως ἐξεκαύθην εἰς ἔρωτα ὥστε με ἐπιλαθόμενον ὅς εἰμι προσδραμόντα ἐθέλειν κύσαι τὸ στόμα, ἔπειτα ἐπὶ συννοίας γενόμενον προσφύντα βούλεσθαι τὰ τοῖν ποδοῖν ἴχνη καταφιλεῖν. αἰαῖ τῆς ἀγερωχίας, 2
νῦν ἐμὲ μὴ ἐπιθυμεῖν θέρμων ἢ κυάμων ἢ ἀθάρας, ἀλλ' οὕτως ὑπερμαζᾶν καὶ τῶν ἀνεφίκτων ἐρᾶν. καταλεύσατέ με πάντες εἰς ταὐτὸν συνελθόντες πρὶν ἢ ⟨ἐ⟩κρι⟨νη⟩θῆναι τοῖς πόθοις, καὶ γενέσθω μοι τύμβος ἐρωτικὸς ὁ τῶν λιθιδίων κολωνός.

32 [III 68].

Ἡδύδειπνος Ἀριστοκόρακι.

Θεοὶ μάκαρες, ἱλήκοιτε καὶ εὐμενεῖς εἴητε. οἷον ἀπέφυγον κίνδυνον, τῶν τρισκαταράτων ἐρανιστῶν λέβητά μοι ζέοντος ὕδατος ἐπιχέαι βουληθέντων. ἰδὼν

x *(Harl. Ven.)* *Γ*

1 ⟨*οὐδ'*⟩ add. Mein. | *μὴ*] *ὁ μὴ* Herch. (ed.) | 4 ⟨*ρ*⟩ add. Valck., *Νευρίδα Γ* | 7 *ἐπιλαθόμενον*] *ἐπιλαθόντα* x | 8 *ὅς*] *οἷός Γ* | 9 *προσφύντα*] *προφύντα* x | 10 *αἰαῖ* Seil. (ed.), *αἲ αἲ O* (*αἶ αἶ Ven.*) | 11 *μὴ*] fort. *μη⟨κέτι⟩* | *ἀθάρας*] *ἀθάρης* Cob. | 13 post *συνελθόντες* add. *οἱ φίλοι* x | 14 ⟨*ἐ*⟩ et ⟨*νη*⟩ add. Boissonad., *βριθῆναι* Ruhnk., *ἐπιτριβῆναι* Reisk., *πρισθῆναι* L. Dindorf., sed cf. II 31, 1 | 15 *ὁ*] *ἡ* x
16 *Ἀριστοκόρακι*] *Ἀριστοκόλακι* Nauck. | 19 *ὕδατος*] om.

*γὰρ πόρρωθεν εὐτρεπεῖς ἀπεπήδησα, οἱ δὲ ἀπροβου-
λεύτως ἐξέχεαν, καὶ τὸ θερμὸν ἐπιρρυὲν Βαθύλ⟨λ⟩ῳ
2 τῷ οἰνοχοοῦντι παιδὶ ψιλὸν εἰργάσατο. τῆς κεφαλῆς
γὰρ ἀπέσυρε τὸ δέρμα καὶ φλυκταίνας ἐπινωτίους
ἐξήνθησεν. τίς ἄρα μοι δαιμόνων ἐπίκουρος ἐγένετο;
μή ποτε οἱ σωτῆρες Ἄνακ[τ]ες, ὡς Σιμωνίδην τὸν
Λεωπρέπους τοῦ Κρανωνίου συμποσίου, κἀμὲ τῶν τοῦ
πυρὸς κρουνῶν ἐξήρπασαν.*

33 [III 69].

Τρικλινοσὰξ Κοσσοτραπέζῳ.

*Ἐξηγόρευσα Μνησιλόχῳ τῷ Παιανιεῖ τὴν τῆς γαμε-
τῆς ἀσέλγειαν· καὶ ὅς, δέον βασανίσαι δι' ἐρεύνης τὸ
πρᾶγμα ποικίλης, ὅρκῳ τὸ πᾶν ὁ χρυσοῦς ἐπέτρεψεν.
ἀγαγοῦσα οὖν αὐτὸν ἡ γυνὴ εἰς τὸ Καλλίχορον τὸ ἐν
Ἐλευσῖνι φρέαρ ἀπωμόσατο καὶ ἀπελύσατο τὴν αἰτίαν.
2 καὶ ὁ μὲν ἀμογητὶ πέπεισται καὶ τὴν ὑποψίαν ἀπέβαλεν·
ἐγὼ δὲ τὴν φλυαρὸν γλῶτταν ἀποτέμνειν ὀστράκῳ
Τενεδίῳ τοῖς βουλομένοις ἕτοιμός εἰμι παρέχειν.*

x (*Harl. Ven.*) *Γ*

1 *εὐτρεπεῖς*] *εὐπρεπεῖς* x | 2 *ἐξέχεαν* Cob., *ἐξέχεον* *O* | *τὸ*] *τὸν* *Ven.* | ⟨λ⟩ add. L. Dindorf. | 3 *παιδὶ*] *παῖδα* x | *εἰργάσατο*] *εἰργάσαντο* *Γ* | 4 *ἀπέσυρε* Seil. (ed.), *ἀπεσύρει* x (in *Harl.* *ει* in ras.), *ἀπεσύρῃ* *Γ* | 6 [τ] del. Herch. (ed.) | *Σιμωνίδην*] del. Pol. | 7 *Λεωπρέπους*] *Λεωπρεποῦς* *Γ*
9 *Τρικλινοσὰξ*] *Τρικλινοσάραξ* *Γ*, de x vid. inscr. ep. sq., *Τριχινοσάραξ* Bergl. | 11 *ὅς*] *ὡς* *Γ* | *δι' ἐρεύνης τὸ*] *διερευνᾶτο τὸ* *Γ* | 12 *ποικίλης*] *ποικίλως* *Γ* | *χρυσοῦς*] *χρυσὸς* x | 13 *Καλλίχορον* Wagn. (ed.), *Καλλίχωρον* *O*. Cf. Hom. H. in Cer. 272 | *14 καὶ ἀπελύσατο* Wyttenb., *καὶ ἀπεδύσατο* *O*, *καὶ ἀπελούσατο* *Arnald.*, del. Cob. | 15 ἀμογητὶ] ἀμηγέπη Γ, ἀμέλει *Herm.* | *17 Τενεδίῳ*] om. x | *παρέχειν*] om. x

34 [III 70].

Λιμοπύκτης Χαλσοκυδοίμῳ.

*Κορύδωνι τῷ γεωργῷ συνήθης ἐπιεικῶς ἦν, καὶ τὰ
πολλὰ ἐξεχεῖτο ἐπ' ἐμοὶ τῷ γέλωτι, ἀστικῆς στωμυλίας
καὶ ξένης . . . . . ἢ κατὰ τοὺς χωρίτας ἐπαΐων. τοῦτ' οὖν
ἰδὼν ἕρμαιον ᾠήθην, εἰ τῶν κατὰ ἄστυ πραγμάτων
ἀπαλλαγεὶς εἰς ἀγρὸν βαδιοίμην καὶ συνεσοίμην ἀνδρὶ
φίλῳ, γεωργῷ ἀπράγμονι καὶ ἐργάτῃ, οὐκ ἐκ δικαστη-
ρίων οὐδὲ ἐκ τοῦ σείειν κατὰ ἀγορὰν ἀδίκους ἐπινο-
οῦντι πόρους, ἀλλὰ γῆθεν ἀναμένοντι τὴν ἐπικαρπίαν
ἔχειν. καὶ δῆτα διανοηθεὶς ταῦθ' οὕτω δρᾶν, ᾠκειωσά-
μην τὸν Κορύδωνα. καὶ στείλας ἐμαυτὸν ἀγροικικῶς,* 2
*νάκος ἐναψάμενος καὶ σμινύην λαβών, αὐτοσκαπανεὺς
ἐδόκουν. ἕως μὲν οὖν ἐν παιδιᾶς μέρει ἔπραττον
ταῦτα, ἀνεκτὸν ἦν καὶ μέγα ἀποκερδαίνειν ᾠόμην,
ὕβρεων καὶ ῥαπισμάτων καὶ τῆς περὶ τὰ ἐδώδιμα τῶν
πλουσίων ἀνοσιότητος ἀπηλλαγμένος. ἐπεὶ δὲ ἐκ τῆς* 3
*καθ' ἡμέραν συνηθείας ἐξ ἐπιταγῆς ἐπράττετο τοὔργον,
καὶ ἔδει πάντως ἢ ἀροῦν ἢ φελλέα ἐκκαθαίρειν ἢ γύ-
ρους περισκάπτειν καὶ τοῖς βόθροις ἐμφυτεύειν, οὐκέτ'*

x *(Harl. Ven.) Γ*

1 *Λιμοπύκτης* Mein. (ed.), *Λιμοπύστης Γ*, *Τρικλινοσὰρξ* x (cf. III 33 inscr.), *Λιμογεύστης* Seil., *Λιμομύστης* Metr. | *Χαλσοκυδοίμῳ*] fort. *Κοσσοκυδοίμῳ* vel *Κονδυλοκυδοίμῳ*. In x est *Λιμοπύστῃ* (*Λιμοπύστης Ven.*), vid. supra | 3 *ἐπ'* Bergl., *ἐν O* | *ἀστικῆς*] *ἀττικῆς Γ* | 4 lac. sign. posui. Pro *ἢ* scripsit *οὐ* Reisk., quo recepto del. *ξένης* Pol. | *τοῦτ' οὖν* scripsi, *τοῦτον O* | 6 *ἀγρὸν*] *τὸν ἀγρὸν Γ* | 8 *σείειν*] *σοβεῖν* Herch. (ed.) | *ἐπινοοῦντι*] *ἐπινοοῦντα Γ* | 11 *ἀγροικικῶς*] *ἀγροικικοῖς* x | 14 *ἀνεκτὸν* Hemst., *ἀνεκτὸς O*, *ἀνεκτὰ* Herch. (ed.) | *μέγα*] *μεγάλα Γ* | *ἀποκερδαίνειν*] ὑποκερδαίνειν x | 15 καὶ (post *ὕβρεων*)] om. x | 16 *πλουσίων* Bergl., μουσείων O, περιουσίων *Mein.* | *ἀνοσιότητος* cl. III 42,1 Heys., ἀνισότητος O

ἀνασχετὸς ἡ διατριβή, ἀλλά μοι μετέμελε τῆς ἀλόγου
4 πράξεως καὶ τὴν πόλιν ἐπόθουν. ἐλθὼν οὖν μετὰ
μήκιστον χρόνον οὐκέθ' ὁμοίως δεκτὸς οὐδὲ χαρίεις
ἐδόκουν, ἀλλά τις ὄρειος καὶ τραχὺς καὶ ἀπηχής, ὥστε
αἱ μὲν οἰκίαι τῶν πλουσίων πᾶσαί μοι λοιπὸν ἀπε-
5 κέκλειντο, ὁ δὲ λιμὸς τὴν γαστέρα ἐθυροκόπει. ἐγὼ
δὲ αὖος ὢν ὑπὸ τῆς τῶν ἀναγκαίων ἐνδείας λῃσταῖς
τισι Μεγαρικοῖς, οἳ περὶ τὰς Σκειρωνίδας τοῖς ὁδοι-
πόροις ἐνεδρεύουσιν, ἐκοινώνησα. ἔνθεν ὁ βίος μοι
ἀργὸς ἐξ ἀδικίας πορίζεται. εἰ δὲ λήσω ταῦτα ποιῶν
ἢ μή, ἄδηλον. δέδια δὲ τὴν μεταλλαγὴν τοῦ βίου.
εἰώθασι γὰρ αἱ τοσαῦται μεταβολαὶ οὐκ εἰς τὸ ζῆν
ἀλλ' εἰς ἀπώλειαν καταστρέφειν.

35 [III 71].

Φιλάπορος Ψιχομάχῳ.

Λεξιφάνης ὁ τῆς κωμῳδίας ποιητὴς θεασάμενός με ὀργιζόμενον πρὸς τὰς ἐν ⟨τοῖς⟩ συμποσίοις παροινίας, λαβὼν καθ' ἑαυτὸν πρῶτα μὲν ἐνουθέτει μὴ τοιαῦτα ἐπιτηδεύειν ἐξ ὧν ὕβρις τὸ τέλος, ἔπειτα τοῦ φωνήματος ὡς ἔχοιμι διὰ βραχέων ἀποπειραθεὶς τῷ χορῷ

x *(Harl. Ven.)* Γ

1 μετέμελε] μετάμελλε (sic) x | 2 requirit ⟨πάλιν⟩ τὴν πόλιν vel τὴν πόλιν ⟨αὖ⟩ Pol. | μετὰ Mein., ἐπὶ *O*, ἐπὶ μηκίστῳ χρόνῳ Bergl., mavult post χρόνον addere ἀπὼν vel ἀπογενόμενος Seil. | 3 δεκτὸς *O*, ἀστεῖος Cob. | 6 τῶν] om. x | 7 Μεγαρικοῖς] Μεγα .... x | 12 τὸ ζῆν] ζημίαν Valck.

14 Φιλάπορος] Φιλόπωρος Herel., Φιλάπονος vel Φιλόχορος Seil. Argum. suadet Φιλόχορος | Ψιχομάχῳ] Φιλομάχῳ x | *15* Λεξιφάνης] Ἀλεξιφάνης *Harl.*, ...λεξιφάνης *Ven.* | 16 ⟨τοῖς⟩ *add. Cob.* | 17 πρῶτα] πρῶτον x | 18 ἐξ] del. Mein., pro τέλος *scribit contra* ὄφελος cl. IV 10, 2 Stang. | φωνήματος Mein., φρονήματος *O* | 19 ὡς] om. x

*τῶν κωμικῶν συλλαμβάνει⟨ν⟩ ἔφασκε, ἐκ τοῦδε γραφη-
σόμενον καὶ ἐμέ. ἐκέλευεν οὖν ἐκμαθόντα .... Διο- 2
νυσίοις τοῖς ἐπιοῦσι τὸ τοῦ οἰκέτου σχῆμα ἀναλαβόντα
τὸ μέρος ἐκεῖνο τοῦ δράματος ὑποκρίνασθαι. ἐγὼ δὲ
ὀψὲ τοῦ καιροῦ καὶ φύσιν καὶ ἐπιτήδευμα μεταβαλὼν
δύσκολός τις καὶ δυσμαθὴς ἐφαινόμην. ἐπεὶ δ' οὐκ 3
ἦν ἑτέρως πράττειν, τὸ δρᾶμα ἐξέμαθον, καὶ μελέτην
ἀσκήσει ῥώσας ἕτοιμός εἰμι τῷ χορῷ συντελεῖν. σὺ δὲ
ἡμῖν μετὰ τῶν συνήθων ἐπίσειε τοὺς κρότους ἵνα, κἄν
τι λάθωμεν ἀποσφαλέντες, μὴ λάβῃ χώραν τὰ ἀστικὰ
μειράκια κλώζειν ἢ συρίττειν, ἀλλ' ὁ τῶν ἐπαίνων
κρότος τὸν θροῦν τῶν σκωμμάτων παραλύσῃ.*

36 [III 72].

Οἰνοχαίρων Ῥαφανοχορτάσῳ.

*Οὐχ οὕτως οἱ τοὺς Ἑρμᾶς περικόψαντες ἢ τὰ τῆς
θεοῦ ἐν Ἐλευσῖνι μυστήρια ἐξορχησάμενοι τὸν περὶ
ψυχῆς ἀγῶνα ὑπέμειναν, ὡς ἐγὼ εἰς χεῖρας ἐμπεσών,
ὦ θεοί, τῆς μιαρωτάτης Φανομάχης. ἐπεὶ γὰρ ἔγνω 2
τὸν ἑαυτῆς ἄνδρα προσκείμενον τῇ Ἰωνικῇ παιδίσκῃ
τῇ τὰς σφαίρας ἀναρριπτούσῃ καὶ τὰς λαμπάδας περι-
δινούσῃ, ὑπετόπησεν ἐμὲ πρόξενον εἶναι τῆς κοινωνίας,*

x *(Harl. Ven.)* [usque ad III 36] et *Γ*

1 *κωμικῶν*] *κωμῳδικῶν Harl.*, *κομοδικῶν Ven.* | ⟨*ν*⟩ add. Boissevain huc rovocato *ἔφασκε*, quod (*ἔφασκον* x) vulg. erat ante *καὶ ἐμέ*, ubi del. Pol., *ἐκ τούτου δὲ γραφήσεσθαι ἔφασκε* Bergl. | lac. sign. posuit Mein. (ed.), supplet *τὸν Ἀθάμαντα* Nab., del. *ἐκμαθόντα* Herch., post *δράματος* coll. Pol. | 5 *ὀψὲ τοῦ καιροῦ*] *τῷ καιρῷ* x | 7 *τὸ*] *καὶ τὸ* x | 10 *λάθωμεν*] *λέγωμεν* Nab., at cf. Plat. Gorg. 487d | *λάβῃ*] *λάβο* Ven. | 12 *θροῦν Γ*, *ῥοῦν* x, *θόρυβον* Nab.

13 *Οἰνοχαίρων*] *Οἰνοχάρων* Herch. (ed.), at cf. v. c. III 10 | *14 ἢ] ἢ ⟨οἱ⟩* Herch. (ed.)

*καὶ διὰ τῶν οἰκετῶν ἀναρπάσασα παραχρῆμα μὲν ἐν
κυσοδόχῃ δήσασα κατέσχεν, εἰς τὴν ὑστεραίαν δὲ παρὰ
τὸν ἑαυτῆς ἤγαγε πατέρα, τὸν σκυθρωπὸν Κλεαίνετον, ὃς
τὰ νῦν δὴ ταῦτα πρωτεύει τοῦ συνεδρίου καὶ εἰς αὐτὸν*
3 *ὁ Ἄρειος πάγος ἀποβλέπουσιν. ἀλλ' ὅταν τινὰ θέλωσιν
οἱ θεοὶ σώζεσθαι, καὶ ἐξ αὐτῶν ἀνασπῶσι βα⟨ρά⟩θρων,
ὡς κἀμὲ τοῦ τρικαρήνου κυνός, ὃν φασιν ἐφεστάναι
ταῖς ταρταρ⟨ε⟩ίαις πύλαις, ἐξήρπασαν. οὐκ ἔφθη γὰρ
τὰ κατ' ἐμὲ ὁ δεινὸς ἐκεῖνος πρεσβύτης τῇ βουλῇ κοι-
νούμενος, καὶ ἠπιάλῳ συσχεθεὶς εἰς τὴν τρίτην ἀπέ-*
4 *ψυξε. καὶ ὁ μὲν ἐκτάδην κεῖται, ⟨τὰ⟩ πρὸς τὴν ἐκφορὰν
τῶν οἴκοι παρασκευαζομένων, ἐγὼ δὲ ᾗ ποδῶν εἶχον
ᾠχόμην καὶ σώζομαι οὐχ ὑπὸ τοῦ τῆς Ἀτλαντίδος
[Μαίας] παιδὸς ψυχαγωγηθείς, ἀλλ' ὑπὸ τῶν ποδῶν
καὶ τοῦ τολμήματος τὴν ἐλευθερίας πορίσας ἀτραπόν.*

37 [I 20].

Θερμολέπυρος Ὠκίμωνι.

Σχέτλια πεπόνθαμεν· τοῖς γὰρ ἄλλοις οὖθαρ καὶ μῆτραι καὶ ἧπαρ δρόσῳ προσεοικὸς [διὰ τὴν ἐκ τῆς

Γ et [inde a III 36, 3 *βουλῇ*] x² (*Vat. 2 Flor. Π Δ*)

2 *κυσοδόχῃ*] *κυνοδόχῃ* Reisk., *κυσοδόκη* Cob. | 3 *ἤγαγε* Cob., *ἦγε O* | 5 *ἀποβλέπουσιν*] *ἀποβλέπει* Reisk. | 6 ⟨*ρά*⟩ add. Bergl. (requirens *αὐτοῦ—βαράθρου*) | 7 *ὡς*] *οὕτως* Herch. (ed.) | 8 ⟨*ε*⟩ add. Herch. (ed.) | 10 *τρίτην* x², *ἕω Γ*, *ἕνην* Dorvill., quo recepto excidat *τὴν* | 11 ⟨*τὰ*⟩ add. Cob. | 12 post *δὲ* add. *ψύττα κατατείνας* x², quod adscr. ex II 21, 3 | *ᾗ*] *οἱ Γ*. Cf. II 19 fin. | 14 [*Μαίας*] del. Hemst. | *ψυχαγωγηθείς*] om. *Γ* | 15 *ἐλευθερίας Flor.*, *ἐλευθέραν Γ*, *ἐλευθερίαν* cet. | *πορίσας*] *πορευθεὶς* (omisso *ψυχαγωγηθεὶς* atque *καὶ τοῦ τολμήματος*, et posita virg. post *ποδῶν*) Herw. | 16 *ἀτραπόν*] *ἄτροπον* x²
17 In x est inscr. ep. praec. | 19 *δρόσῳ*] *χρυσῷ* Reisk. | [*διὰ—λεπτότητα*] del. Pierson. (hab. ποιότητος x²; pro *λεπτότητα* coni. *λιπαρότητα* Bergl., λευκότητα Gesner., στιλπνότητα *Reisk.*, *λειότητα* Metr.)

πιότητος λεπτότητα] παρέκειτο, ἡμῖν δὲ ἔτνος ἦν τὸ βρῶμα· καὶ οἱ μὲν Χαλυβώνιον ἔπινον, ἐκτροπίαν δὲ ἡμεῖς καὶ ὀξίνην. ἀλλ' ὦ μοιραῖοι θεοὶ καὶ μοιραγέται 2
δαίμονες, δοίητε παρατροπὴν τῆς ἀδίκου ταύτης τύχης καὶ μὴ τοὺς μὲν διηνεκῶς φυλάττετε ἐν εὐτυχίᾳ, τοῖς δὲ τὸν λιμὸν συνοικίζετε ..... τῇ γὰρ φορᾷ τῆς εἱμαρμένης τὰ τοιαῦτα κατηνάγκασται. ἄδικα πάσχομεν πρὸς αὐτῆς οἱ λεπτῇ καὶ στενῇ κεχρημένοι τῇ τύχῃ.

38 [I 21].

Κωνωποσφράντης Ἰσχνολίμῳ.

Ἀνεμιαίους ἐλπίδας ἔσχον ἐπὶ τῷ μειρακίῳ Πολυκρίτῳ. ᾤμην γὰρ αὐτόν, εἰ τεθναίη αὐτῷ ὁ πατήρ, χύσιν ἐργάσεσθαι τῆς οὐσίας πολλήν, καὶ ἀδηφαγοῦντα καὶ καθηδυπαθοῦντα μετά τε ἡμῶν μετά τε τῶν ἑταιρῶν ὅσαι κατὰ τὴν ὥραν πρωτεύουσιν ἐξαν-

x (*Harl. Ven.*) *Γ* x² (*Vat. 2 Flor. Π Δ*)

1 *παρέκειτο*] *προσέκειτο* x | 3 *μοιραγέται*] *μοιρίδιοι* Herch. | 4 *παρατροπὴν*] *παράτροπον* *Γ*, del. *παρα* Herch. | 5 *διηνεκῶς* — *εὐτυχίᾳ* *Γ*, om. *ἐν* x, *διηνεκεῖ φυλάττετε εὐτυχίᾳ* x² | 6 *λιμὸν*] *λοιμὸν* *Δ* | ante *τῇ* posuit lac. sign. supplens ⟨*ἀλλ' οὐκ ἐνδέχεται·*⟩ Reisk., *τῇ γὰρ φθορᾷ* x, *ἡ γὰρ φορὰ* x², *χαλεπῇ γὰρ φορᾷ* Herch. (ed.), ⟨*εἰ δέ τις ἐρεῖ·*⟩ *τῇ γὰρ φορᾷ* posita virg. ante sq. *ἄδικα* Pol., idem sed ⟨*ἀλλὰ*⟩ pro *εἰ* — *ἐρεῖ·* Boissevain. | 7 *κατηνάγκασται*] *κατηνάγκασθαι* (sic) x *Δ* | 8 *αὐτῆς*] *αὐτοῖς* x | *στενῇ*] *συνετῇ* x | *τῇ*] om. x *Flor.* *Δ*

9 *Κωνωποσφράντης*] *Κωνοποσφράντης Harl.* *Δ*, om. *Ven.*, *Καπνοσφράντης* Nauck. | *Ἰσχνολίμῳ*] *Ἰχνολίχῳ Harl.*, om. *Ven.*, *Ἰσχνολαίμῳ* Vind., *Ἰσχαδολίμῳ* vel. *Ἰσχαδολύμᾳ* Nauck. | 10 *ἔσχον*] *ἔχων* x, *ἔχω* *Γ* | 11 *εἰ τεθναίη* Bergl., *ἡ* (*ἢ Harl.*) *τεθνάναι ἢ* *O* | 12 *χύσιν*] *ἔκχυσιν* Herw. | *ἐργάσεσθαι* Bergl., *ἐργάσασθαι* *O* | *τῆς οὐσίας*] del. Pol. | *πολλήν*] *πολλάκις* *Γ* | *καὶ ἀδηφαγοῦντα*] *καὶ ἀδδηφαγοῦντα* x *Γ*, *καταδηφαγοῦντα* Bergl. | 14 *τῶν*] om. *Γ* | ὅσαι] post ὥραν hab. x | ἐξαντλήσειν *Pol.*, *ἐξαντλῆσαι* x, ἐξαναλοῦν Γ, ἐξαντλοῦντα ἢ τὸ πᾶν ἢ x², *δαπανῆσαι* Lennep.

2 τλήσειν τὸ πολύ [τῆς οὐσίας]. ὁ δέ, ἐπειδὴ κρίνον αὐτῷ ὁ γεννήσας ἐγένετο, σιτεῖται μὲν τῆς ἡμέρας ἅπαξ, καὶ τοῦτο ὀψὲ τῆς ὥρας ἡλίου λοιπὸν ἀμφὶ τροπὰς τὰς εἰς δύσιν ἔχοντος· σιτεῖται δὲ οὐδὲν τῶν πολυτελῶν ἀλλ' ἄρτον τὸν ἐξ ἀγορᾶς, καὶ ὄψον, εἴ ποτε εὐημερίας ἡμέραν ἐπιτελοίη, δρυπεπεῖς ἢ φαυλίας.
3 διαμαρτὼν οὖν τῆς θαυμαστῆς ταύτης ἐλπίδος οὐκ οἶδ' ὅ τι καὶ δράσαιμι. εἰ γὰρ ὁ τρέφων δεῖται τοῦ θρέψοντος, τί ἂν εἴη ὁ τρέφεσθαι ὀφείλων; λιμώττοντα δὲ λιμώττοντι συνεῖναι διπλοῦν τὸ βλάβος.

39 [I 22].

Γέμελλος Εὐβούλῳ.

Παρέκειτο μὲν ἡμῖν ὁ Γέλωνος τοῦ Σικελιώτου πλακοῦς ἐπώνυμος. ἐγὼ δὲ καὶ τῇ θέᾳ μόνον πρὸς τὰς καταπόσεις εὐτρεπιζόμενος εὐφραινόμην· μέλλησις δὲ ἦν πολλή, περιστεφόντων τραγημάτων τὰ πέμματα· ἦν δὲ ὁ καρπὸς τῆς πιστάκης καὶ βάλανοι φοινίκων καὶ κάρυα τῶν ἐλύτρων ἐξῃρημένα. ἐγὼ δὲ

x (*Harl. Ven.*) Γ x² (*Vat. 2 Flor. Π Δ*)

1 [τῆς οὐσίας] expunxi | κρίνον—ἐγένετο Mein. (ed.), κρίνων—ἐγένετο x x², Κρίνων—ἐξεγένετο Γ, καὶ ῥάων—ἐγένετο Bergl., Κρίτων—ἀπεγένετο Heringa, κλινῶν—ἐξεγένετο Reisk., Γνίφων (vel Κνίφων)—ἐγένετο Seil. | 3 ὀψὲ τῆς ὥρας Valck., ord. inv. *O* | τροπὰς τὰς εἰς] τ . . . . . εἰς *Vat. 2 Flor.*, ... εἰς *Π Δ* | 5 τὸν] om. x Γ | εἴ] καὶ εἴ Herch. (ed.) | 6 εὐημερίας ἡμέραν] εὐημερίαν Mein., at cf. v. c. II 10, 2 | δρυπεπεῖς] δρυπέπεις x Γ, δρυπετεῖς Δ | 8 δράσαιμι] δράσω Herch. (ed.) | 9 τί] τίς Γ | 10 δὲ] om. x | τὸ] om. x | βλάβος] βάρος Δ | post βλάβος add. ἔρρωσο x²

11 Γέμελλος] Γέμελος *Harl.*, Γέλος *Ven.* | 12 μὲν] om. x | *ὁ Γέλωνος τοῦ] ὦ γέλλων ὀστοῦ* x², del. τοῦ Σικελιώτου Mein. | *13 καὶ] om. x* | 14 εὐφραινόμην x Γ Π, ηὐφραινόμην cet. | *16 ὁ] om. Γ*

πρὸς ταῦτα ἕκαστα ἐχθρὰ βλέπων ἀνέμενον ἐπαφήσειν
ἐμαυτὸν ἐγχανὼν τῷ πλακοῦντι. οἱ δὲ καὶ τὸ ἐντραγεῖν 2
ἐπὶ μήκιστον ἐξέτεινον καὶ ⟨τῆς⟩ κύλικος συνεχῶς
περισοβουμένης διατριβὰς καὶ μελλησμοὺς ἐνεποίουν,
καὶ ὥσπερ ἐκ συνθήματος τὴν ἐμὴν ἀναρτῶντες ἐπι-
θυμίαν ὁ μέν τις κάρφος λαβὼν ἐξεκάθαιρε τὰ ἐνιζά-
νοντα τῶν βρωμάτων τοῖς ὀδοῦσιν ἰνώδη, ὁ δὲ ὑπτιάσας
ἑαυτὸν οἷος ἦν ὕπνῳ κατέχεσθαι μᾶλλον ἢ τῆς τραπέζης
φροντίζειν· εἶτα ἄλλος ἄλλα διελέγετο, καὶ πάντα μᾶλ-
λον ἐπράττετο ἢ ὁ ἡδὺς ἐκεῖνος καὶ ποθητὸς ἐμοὶ
πλακοῦς εἰς ἀπόλαυσιν ἤγετο. τέλος, οἷα εἰκός, οἱ θεοὶ 3
κατοικτείραντες τὸ κατάξηρον τῆς ἐμῆς ἐπιθυμίας μόλις
ποτὲ ἱμείροντά με τοῦ πλακοῦντος ἀπογεύσασθαι παρ-
εσκεύασαν. ταῦτά σοι γράφω οὐ τοσοῦτον ἐπὶ τοῖς
ἡδέσιν ἡσθείς, ὅσον ἐπὶ τῇ παρολκῇ τῆς βραδυτῆτος
ἐκτακείς.

40 [I 23].

Πλατύλαιμος Ἐρεβινθολέοντι.

Οὐπώποτε ἐγὼ κατὰ τὴν Ἀττικὴν ὑπέμεινα τοιοῦτον χειμῶνα. οὐ γὰρ μόνον ἐκ παραλλήλου φυσῶντες,

x *(Harl. Ven.)* [usque ad III 40] *Γ* (usque ad III 40) et x² *(Vat. 2 Flor. Π Δ)*

1 *ταῦτα*] *αὐτὰ* Herch. (ed.) | *ἕκαστα*] om. x | *ἐπαφήσειν*] *ἐπαφεῖναι* Herw. | 2 *ἐντραγεῖν*] *ἐν* om. x | 3 *μήκιστον*] *μέγιστον* *Γ* | *ἐξέτεινον* Cob, *ἐξέτειναν* *O* | ⟨*τῆς*⟩ add. Herch. (ed.) | *συνεχῶς*] *συνεχὲς* x² | 4 *περισοβουμένης*] *περισοβούσης* Herch. (ed.) | *μελλησμοὺς* *Γ*, *μελισμοὺς* cet. | 5 *καὶ* Herch. (ed.), *τέλος* *O*, quod ortum e sq. | 7 *ὁ δὲ*] om. *Γ Vat. 2 Flor. Π* | 8 *ὕπνῳ κατέχεσθαι*] *ὕπνου κατάρχεσθαι* Nab. | 9 *ἄλλα* x, *ἄλλῳ* cet. | 10 *ἐπράττετο*] del. Nauck. | *ἐμοὶ*] *ἡμῖν* x² | 11 *ἤγετο* Vind., *ἤρχετο* *O*. Propter *ἐπράττετο* illud praestat. | *οἷα*] om. x, *ὡς* *Γ*, del. *οἷα εἰκός* Herch. (ed.) | 15 *τῆς βραδύτητος*] del. Herch. (ed.), *τῆς παρολκῆς τῇ βραδυτῆτι* Pol.

17 *Ἐρεβινθολέοντι*] Ἐρεβινθοφλέοντι vel Ἐρεβινθοκνέοντι *Seil.*, *Ἐρεβινθολέποντι* Mein. (ed.) | 19 παραλλήλου] παραλλή

μᾶλλον δὲ σύρδην φερόμενοι κατεκτύπουν ἡμῶν οἱ ἄνεμοι, ἀλλ' ἤδη καὶ χιὼν πυκνὴ καὶ ἐπάλληλος φερομένη πρῶτον μὲν τοὔδαφος ἐκάλυπτεν, ἔπειτα οὐκ ἐπιπολῆς ἀλλ' εἰς ὕψος ἤρετο τῆς νιφάδος χύμα πάμπολυ, ὡς ἀγαπητὸν εἶναι τὸ θύριον ἀνοίξαντα τῆς
2 οἰκίας τὸν στενωπὸν ἰδεῖν. ἐμοὶ δὲ οὔτε ξύλον οὔτε ἄ[σ]βολος παρῆν. πῶς γὰρ ἢ πόθεν; ὁ κρυμὸς δὲ εἰσεδύετο μέχρι μυελῶν αὐτῶν καὶ ὀστέων. ἐβουλευσάμην οὖν Ὀδύσσειον βούλευμα δραμεῖν εἰς τὰς θόλους [ἢ τὰς καμίνους] τῶν βαλανείων. ἀλλ' οὐδὲ ἐκεῖσε συνεχώρουν οἱ τῶν ὁμοτέχνων περὶ ταῦτα ἀλινδούμενοι· καὶ γὰρ
3 αὐτοὺς ἡ παραπλησία θεὸς ἠνώχλει Πενία. ὡς οὖν ᾐσθόμην οὐκ εἶναί μοι εἰς ταύτας εἰσιτητόν, δραμὼν ἐπὶ τὸ Θρασύλ⟨λ⟩ου βαλανεῖον [ἰδιωτικῆς οἰκίας], εὗρον τοῦτο κενόν, καὶ καταβαλὼν ὀβολοὺς δύο καὶ τὸν βαλανέα τούτοις ἵλεων καταστήσας, ἐθερόμην ἄχρις οὗ τὸν νιφετὸν ἡ πηγυλὶς διεδέξατο, καὶ ὑπὸ τοῦ κρύους τοῦ μεταξὺ διεροῦ παγέντος πρὸς ἀλλήλους ἐδέδεντο οἱ λίθοι. μετὰ δὲ τὸ ἀποβράσαι τὸ δριμὺ προσηνὴς ὁ ἥλιος ἐλευθέραν μοι τὴν πρόοδον καὶ περιπάτους ἀνειμένους ἀπέφηνεν.

x² (*Vat.* 2 *Flor.* *ΠΔ*)

λων *ΠΔ* | 1 σύρδην] φύρδην *ΠΔ* | ἡμῶν] ἡμῖν Vind., ἡμᾶς Cob. | 4 χύμα Mein. (ed.), χῦμα *O* | 5 θύριον Mein., θυρίον *O* | 6 ἐμοὶ δὲ] om. *Flor.* | [σ] del. Meis. | 8 ὀστέων] ὀστῶν Herch. (ed.) | 9 τὰς θόλους *ΠΔ*, τοὺς θόλους cet. | 9—10 [ἢ τὰς καμίνους] del. Cob. | 10 ἐκεῖσε] ἐκεῖ Vind., sed cf. III 24, 1 | 11 ταῦτα] ταὐτὰ Mein. | ἀλινδούμενοι Seil. (ed.), ἠλινδούμενοι x² (κυλινδούμενοι mrg. *Π*), καλινδούμενοι Herw. | 12 παραπλησία] expectes αὐτὴ | Πενία] del. Cob. | 13 ταύτας Herw., ταύτην *O* | ἐπὶ τὸ Seil. (ed.), τὸ ἐπὶ *O* | 14 ⟨λ⟩ addidi | [ἰδιωτικῆς οἰκίας] del. Herch. (ed.) | 15 κενόν] κενότερον mrg. *Π* | 17 ἡ] *Cob.*, μὲν x², del. Vind. | 20 τὴν] om. *Flor.* | πρόοδον] πρόσσοδον *Flor.* | 21 ἀνειμένους] ἀνειμένως Π Δ | ἀπέφηνεν *Ald.*, ὑπέφηνεν x²

41 [fragm. 2].

Παλλάχανος Μονογνάθῳ.

Ἐξώλεις ἀπόλοιντο οἱ Κλεισθένεις καὶ οἱ Δράκον⟨τες⟩ ....

42 [III 74].

Φρυγοκοίλης Βορβοροζώμῳ.

Ὑβρίζεσθαι πρὸς τοῦ τρέφοντος, εἰ καὶ ἀνόσιον, φορητόν, ἅπαξ ἐκδόμενον τὸ σῶμα τοῖς προπηλακίζειν ἐθέλουσιν ἕνεκα τῆς ἀθεμίτου γαστρός· τὸ δὲ καὶ ὑπὸ τῶν συμπαρόντων, πολλῷ βαρύτερον· τὸ δὲ μὴ μόνον ὑπὸ τούτων ἀλλὰ καὶ ὑπὸ τῶν ἰταμωτέρων οἰκετῶν, ἔτι χαλεπώτερον. εἰ δὲ προσθείην καὶ τὰς θεραπαινίδας 2
κιχλιζούσας καὶ μωκωμένας καὶ γέλωτα τὴν ἡμετέραν ἀτυχίαν ποιουμένας, τότε σχέτλια καθ' Ὅμηρον ἀποδυσπετῶ. τοῦτο γὰρ Αὐτόχθονος ἤκουσα τοῦ γραμ-

x *(Harl. Ven.)* [inde a III 42] *Γ* (inde a III 42) et [usque ad III 42] x² *(Vat. 2 Flor. Π Δ)*

1 *Παλλάχανος Δ, Παυλάχανος* cet. | *Μονογνάθῳ Δ, Μονογαθίῳ Π, Μονογναθείῳ* cet. | 2 *οἱ Κλεισθένεις*] *ὁ Κλεισθένεις* (sic) *Π*, *ὁ Κλεισθένης Δ* | 3 ⟨*τες*⟩ add. Wagn. (ed.), *ὁ δράκον* ... *Π Δ*

4 haec ep. Seilero non videtur Alciphronea | *Φρυγοκοίλης*] *Φριγοκείλης Γ*, *Φρικοκοίλης* Bast., *Σφριγοκοίλης* Seil., *Φρικοκοίτης* vel *Ῥιγοκοίτης* Mein., *Φυσίκιλλος* Metr. | *Βορβοροζώμῳ*] *Βολβοζώμῳ* Metr. | 5 *ἀνόσιον*] *ἀνύποιστον* Groeneboom, *ἀνάξιον* Pol. | 6 *ἐκδόμενον Γ*, *ἀποδόμενον* x | 7 *ἀθεμίτου*] *ἀθεμίστου Γ* | *καὶ*] om. x | 8 *συμπαρόντων*] *συμπινόντων* Herch. (ed.) | 9 *ἰταμωτέρων*] *ἰταμῶν ἑταιρῶν καὶ* cl. III 12, 3 Stang. | 10 *καὶ*] om. x | 12 *σχέτλια*] σχετλιάζων Mein. (ed.). Possis etiam *σχέτλια πάσχων*, vel σχέτλια τλὰς ut Pol. | 13 Αὐτόχθονος Bast., *αὐτόχθονος O*

ματικοῦ ποτε καὶ μνήμῃ συνέχω 'Ζεῦ πάτερ· οὔτις
3 *σεῖο θεῶν ὀλοώτερος ἄλλος'. ὀλέθριοι γὰρ ἀληθῶς οἱ δαίμονες οἱ ταῦτα ἐφ' ἡμῖν πρυτανεύοντες, ἵν' ἐγὼ μὲν ὑπομένω κινδύνους ἀλγεινούς, γέλωτος δὲ ὑπόθεσις ⟨ᾖ⟩ τοῖς χειρίστοις τἀμά.*

x *(Harl. Ven.)* *Γ*

1 *συνέχω*] *συνέχομαι* x | '*Ζεῦ—ἄλλος*'] Il. III 365 | 5 ⟨*ᾖ*⟩ add. Cob.

LIBER IV.

⟨ΑΛΚΙΦΡΟΝΟΣ ΡΗΤΟΡΟΣ
ΕΠΙΣΤΟΛΑΙ ΕΤΑΙΡΙΚΑΙ.⟩

1 [fragm. 3].

⟨*Φρύνη Πραξιτέλει.*⟩

... μὴ δείσῃς· ἐξείργασαι γὰρ πάγκαλόν τι χρῆμα, οἷον ἤδη τίς σοι τῶν πώποτε .... οὐδεὶς τῶν κατὰ χειρῶν πονηθέντων, τὴν σεαυτοῦ ἑταίραν ἱδρύσας ἐν τεμένει. μέση γὰρ ἕστηκα [ἐπὶ] τῆς ⟨σῆς⟩ Ἀφροδίτης καὶ τοῦ Ἔρωτος ἅμα τοῦ σοῦ. μὴ φθονήσῃς δέ μοι τῆς τιμῆς· οἱ γὰρ ἡμᾶς θεασάμενοι ἐπαινοῦσι Πραξιτέλη, καὶ ὅτι τῆς σῆς τέχνης γέγονα οὐκ ἀδοξοῦσί με Θεσπιεῖς μέσην κεῖσθαι θεῶν. ἓν ἔτι τῇ δωρεᾷ λείπει, ἐλθεῖν σε πρὸς ἡμᾶς, ἵνα ἐν τῷ τεμένει μετ' ἀλλήλων κατακλινῶμεν. οὐ μιανοῦμεν γὰρ τοὺς θεοὺς οὓς αὐτοὶ πεποιήκαμεν. ἔρρωσο.

$\mathbf{x}^2$ *(Vat. 2 Flor. ΠΔ)*

⟨ΑΛΚΙΦΡΟΝΟΣ—ΕΤΑΙΡΙΚΑΙ⟩ add. Ryck. | 1 inscr. add. Jacobs. | 3 *ἤδη*] *ἴδη ΠΔ* | *πώποτε .....*] *πάνποτε .....* *Vat. 2, πάν ....* *Flor.* | 4 *κατὰ*] *διὰ* Seil., rescribens *οἷον δή τι οὐδεὶς εἶδε πώποτε πάντων τῶν διὰ* | 5 [*ἐπὶ*] del. Cob., *ἀπὸ* Mein. | ⟨*σῆς*⟩ add. Herch. (ed.) | 6 *ἅμα*] del. Herch. | 11 *οὓς—πεποιήκαμεν*] corrupt. censet Mein.

2 [I 29].

Γλυκέρα Βακχίδι.

*Ὁ Μένανδρος ἡμῖν ἐπὶ τὴν τῶν Ἰσθμίων θέαν εἰς
τὴν Κόρινθον ἐλθεῖν βεβούληται· ἐμοὶ μὲν οὐ κατὰ
νοῦν· οἶδα[ς] γὰρ οἷόν ἐστιν ἐραστοῦ τοιούτου καὶ
βραχὺν ἐστερῆσθαι χρόνον· ἀποτρέπειν δ' οὐκ ἐνῆν μὴ
2 πολλάκις ἀποδημεῖν εἰωθότα. οὐδ' ὅπως αὐτὸν παρεγ-
γυήσω μέλλοντα ἐπιδημεῖν ἔχω, οὐδ' ὅπως μή. βού-
λομαι μὲν αὐτὸν σπουδασθῆναι ὑπὸ σοῦ, κἀμοί τινα
φέρειν φιλοτιμίαν τοῦτο λογίζομαι· οἶδε γὰρ τὴν οὖσαν
3 ἡμῖν ἑταιρίαν πρὸς ἀλλήλας· δέδοικα δέ, ὦ φιλτάτη,
οὐ ⟨σὲ⟩ τοσοῦτον — χρηστοτέρῳ γὰρ ἤθει κέχρησαι
τοῦ βίου — ὅσον αὐτὸν ἐκεῖνον. ἐρωτικὸς γάρ ἐστι
δαιμονίως, καὶ Βακχίδος οὐδ' ἂν τῶν σκυθρωποτάτων
4 τις ἀπόσχοιτο. τὸ μὲν γὰρ δοκεῖν αὐτὸν οὐκ ἔλαττον
τοῦ σοὶ ἐντυχεῖν ἢ τῶν Ἰσθμίων ἕνεκεν τὴν ἀποδή-
μησιν πεποιῆσθαι, οὐ πάνυ πείθομαι. ἴσως αἰτιάσῃ
με τῆς ὑποψίας. συγγίνωσκε δὲ ταῖς ἑταιρικαῖς, ὦ
φιλτάτη, ζηλοτυπίαις. ἐγὼ δ' οὐ παρὰ μικρὸν ἂν
5 ἡγοίμην Μενάνδρου διαμαρτεῖν ἐραστοῦ. ἄλλως τε*

Φ x² *(Vat. 2 Flor. Π Δ)*

2 *ἡμῖν* Bergl., *ἡμῶν O* | 4 [ς] del. Cob. Secunda persona hic non placet | 5 *ἐστερῆσθαι* Mein., *ὑστερῆσαι O* | 6 *εἰωθότα Π Δ*, *εἰωθότας* cet., *εἰωθότος* Mein. (ed.) | 7 *παρεγγυήσω*] ⟨*σοι*⟩ *παρεγγυήσω* Reisk. | *ἐπιδημεῖν* scripsi, *ἐπιδημήσειν* x², sed ita nunquam Alc. | 8 *μή. βούλομαι μὲν* (sublata plena interp. post *ἀλλήλας*) Boissevain, *μή, βουλόμενον O* | *ὑπὸ*] *ἐπὶ Flor. Vat. 2* | 9 *οἶδε* Cob., *οἶδα O* | 11 ⟨*σὲ*⟩ add. Ald. | 14 sq. *οὐκ*] del. Mein., pro sq. *οὐ* scrib. *καὶ* Bergl., *ἀπωθοῦμαι* pro *πείθομαι* *Pol.* | *15 ἀποδήμησιν*] *ἀποδήμην Δ*, *ἀποδημίαν* Ald. | 17 *ὑποψίας*] *ὑπεροψίας Vat. 2 Flor.* | 18—19 ἂν ἡγοίμην Seil., *ἡγούμην O*, *ἡγοῦμαι* Ald. | 19 sqq. ἄλλως—λοιδορεῖσθαι] ante ἐγὼ *(vrs. 18)* collocat Pol.

κἄν μοι κνισμός τις πρὸς αὐτὸν ἢ διαφορὰ γένηται, δεήσει με ἐπὶ τῆς σκηνῆς ὑπὸ Χρέμητός τινος ἢ Φ⟨ε⟩ιδύλου πικρῶς λοιδορεῖσθαι. ἐὰν δ' ἐπανέλθῃ μοι οἷος ᾤχετο, πολλήν εἴσομαί σοι χάριν. ἔρρωσο.

3 [I 30].

Βακχὶς Ὑπερ⟨ε⟩ίδῃ.

Πᾶσαί σοι ἴσμεν αἱ ἑταῖραι χάριν καὶ ἑκάστη γε ἡμῶν οὐχ ἧττον ἢ Φρύνη. ὁ μὲν γὰρ ἀγὼν μόνης Φρύνης, ὃν ὁ παμπόνηρος Εὐθίας ἐπανείλετο, ὁ δὲ κίνδυνος ἁπασῶν. εἰ γὰρ αἰτοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον οὐ τυγχάνομεν ἢ τοῖς διδοῦσιν [αἱ] τυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου τούτου καὶ μηκέτι ἔχειν πράγματα μηδὲ τοῖς ὁμιλοῦσι παρέχειν. νῦν δ' οὐκέτι τὸ ἑταιρεῖν αἰτια- 2
σόμεθα ὅτι πονηρὸς Εὐθίας ἐραστὴς εὑρέθη, ἀλλ' ὅτι ἐπιεικὴς Ὑπερ⟨ε⟩ίδης ζηλώσομεν. πολλὰ τοίνυν ⟨κ⟩ἀγαθὰ γένοιτό σοι τῆς φιλανθρωπίας. καὶ γὰρ ἑταίραν 3
χρηστὴν σεαυτῷ περιεσώσω, καὶ ἡμᾶς ἀμειψομένας σε ἀντ' ἐκείνης παρεσκεύασας. εἰ δὲ δὴ καὶ τὸν λόγον γράψαις τὸν ὑπὲρ τῆς Φρύνης, τότε ἂν ὡς ἀληθῶς χρυσοῦν αἱ ἑταῖραί ⟨σε⟩ στήσαιμεν ὅπῃ ποτὲ βούλει τῆς Ἑλλάδος.

Φ (usque ad IV 3) et x² *(Vat. 2 Flor. Π Δ)*

1 *τις* Ald., *τις ἤ Π Δ*, *τις εἰ* cet. | *ἢ διαφορὰ*] del. Hirsch. | 2 ⟨ε⟩ add. Vind., *Διφίλου* Ald.

5 ⟨ε⟩ add. Herch. (ed.) | 6 *σοι*] om. *O.* praeter *Vat. 2*, post *ἑταῖραι* hab. Vind. | 7 *Φρύνη Π Δ*, *Φρύνης* cet. | *μόνης*] *μόνος Δ* | 10 *οὐ τυγχάνομεν*] om. *Flor. Vat. 2* | [*αἱ*] delevi, *τυγχάνουσαι τοῖς διδοῦσιν* Pol. | 12 μηδὲ Seil., μήτε x², μηκέτι ⟨*μήτε αὐτὰς*⟩—*μήτε* Mein. | 15 ⟨ε⟩ add. Herch. (ed.) | ⟨κ⟩ *add.* Herch. (ed.) | 17 *περιεσώσω*] *περιεποιήσω* Vind. | 20 ⟨σε⟩ *add.* Ald. | *ὅπῃ*] *ὅπου* Cob.

4 [I 31].

Βακχὶς Φρύνῃ.

*Οὐ τοσοῦτόν σοι τοῦ κινδύνου συνηχθέσθην, φιλ-
τάτη, ὅσον ὅτι πονηροῦ μὲν ἀπηλλάγης ἐραστοῦ χρηστὸν
δὲ εὗρες [Ὑπερίδην], συνήσθην. τὴν γὰρ δίκην σοι
καὶ πρὸς εὐτυχίαν γεγονέναι νομίζω. διαβόητον γάρ
σε οὐκ ἐν ταῖς Ἀθήναις μόνον, ἀλλὰ καὶ ἐν τῇ Ἑλλάδι*
2 *ἁπάσῃ ὁ ἀγὼν ἐκεῖνος πεποίηκεν. Εὐθίας μὲν οὖν
ἱκανὴν τιμωρίαν δώσει τῆς σῆς ὁμιλίας στερούμενος·
ὑπὸ γὰρ ὀργῆς μοι δοκεῖ κινηθεὶς διὰ τὴν ἔμφυτον
ἀμαθίαν ὑπερᾶραι τὸ μέτρον τῆς ἐρωτικῆς ζηλοτυπίας.
καὶ νῦν ἐκεῖνον ἐρῶντα μᾶλλον εὖ ἴσθι ἢ Ὑπερ⟨ε⟩ίδην.*
3 *ὁ μὲν γὰρ διὰ τὴν τῆς συνηγορίας χάριν δῆλός ἐστι
σπουδάζεσθαι βουλόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν,
ὁ δὲ τῷ ἀποτεύγματι τῆς δίκης παρώξυνται. προσδέχου
δὴ πάλιν ἀπ' αὐτοῦ δεήσεις καὶ λιτανείας καὶ πολὺ*
4 *χρυσίον. μὴ δὴ καταδιαιτήσῃς ἡμῶν, ὦ φιλτάτη, τῶν
ἑταιρῶν, μηδ' Ὑπερ⟨ε⟩ίδην κακῶς δόξαι βεβουλεῦσθαι
ποιήσῃς τὰς Εὐθίου ἱκεσίας προσιεμένη, μηδὲ τοῖς
λέγουσί σοι ὅτι, εἰ μὴ τὸν χιτωνίσκον περιρρηξαμένη
τὰ μαστάρια τοῖς δικασταῖς ἐπέδειξας, οὐδὲν ⟨ἂν⟩ ὁ*

x^2 *(Vat. 2 Flor. ΠΔ)*

2 ante *φιλτάτη* add. *ὦ* Vind., sed omittitur saepius in lib. IV | 4 [*Ὑπερίδην*] del. Mein. (ed.) | 5 *εὐτυχίαν*] *εὐτυχίας Vat. 2 Flor.* | 7 *οὖν* Mein. (ed.), *γὰρ* x^2 | 8 *στερούμενος*] *στερόμενος* Cob. | 9 *κινηθεὶς*] del. Pol. | 10 *ὑπερᾶραι* Seil. (ed.), *ὑπεράραι* x^2 | 11 ⟨ε⟩ add. Herch. (ed.) | 15 *ἀπ'* Mein., *δι'* x^2, *παρ'* Cob. | 16 *μὴ δὴ*] *σὺ δὲ μηδὲ* Reisk., *μὴ προσδέχου — τὸ πολὺ χρυσίον, μηδὲ* Nab. | 17 ⟨ε⟩ add. Herch. (ed.) | *18 ποιήσῃς Δ* et mrg. *Π*, *πωλήσῃς* cet. | 20 ⟨ἂν⟩ add. Seil., *οὐδ' ἂν* Mein. (ed.)

ῥήτωρ ὠφέλει, πείθου. καὶ γὰρ αὐτὸ τοῦτο ἵνα ἐν καιρῷ γένηταί σοι ἡ ἐκείνου παρέσχε συνηγορία.

5 [I 32].

Βακχὶς Μυρρίνῃ.

Μὴ δὴ κρείττονος εἴη σοι τυχεῖν ἐραστοῦ, δέσποινα Ἀφροδίτη, ἀλλ' Εὐθίας σοι ὃν νῦν περιέπεις συγκαταβιῴη. τάλαινα γυνὴ τῆς ἀνοίας, ἥτις τῷ τοιούτῳ θηρίῳ προσέφθαρσαι. πλὴν ἴσως τῷ κάλλει πεπίστευκας· 2 Μυρρίνην γὰρ στέρξει δῆλον ὅτι Φρύνην ὑπεριδών. ἀλλ' ἔοικας κνίσαι τὸν Ὑπερ⟨ε⟩ίδην βεβουλῆσθαι ὡς ἔλαττόν σοι νῦν προσέχοντα. κἀκεῖνος ἑταίραν ἔχει ἀξίαν ἑαυτοῦ καὶ σὺ ἐραστὴν σοὶ πρέποντα. αἴτησόν 3 τι παρ' αὐτοῦ, καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια ἐμπεπρηκυῖαν ἢ τοὺς νόμους καταλύουσαν. ἴσθι γοῦν ὅτι παρὰ πάσαις ἡμῖν ταῖς τὴν φιλανθρωποτέραν Ἀφροδίτην προτιμώσαις μεμίσησαι.

6 [I 33].

Θαῒς Θετάλῃ.

Οὐκ ἄν ποτ' ᾠήθην ἐκ τοσαύτης συνηθείας ἔσεσθαί μοί τινα πρὸς Εὐξίππην διαφοράν. καὶ τὰ μὲν ἄλλα

x² (*Vat. 2 Flor. ΠΔ*)

1 πείθου *Δ*, $\overset{ου}{πείθων}$ *Π*, πείθων *Flor. Vat. 2*, πείθων, πείθου Dorvill. | 2 γένηταί] γένοιτό Nab.
4 εἴη] δοίη del. sq. virg. Valck. | 6 τῷ τοιούτῳ] τῶν τοιούτων *Flor.* | 8 Μυρρίνην — Φρύνην Seil. (ed.), Μυρρίνην — Μυρρίνην *Flor. Vat. 2*, $\overset{Φρύνην}{Μυρρίνην}$ — Μυρρίνην Π, Φρύνην — Μυρρίνην *Δ* | 9 ⟨ε⟩ add. Herch. (ed.) | βεβουλῆσθαι] βεβουλεῦσθαι Vind. | 11 σοὶ scripsi, σοι x²
18 Εὐξίππην] Ζευξίππην Reisk.

*ἐν οἷς αὐτῇ χρησίμη γέγονα ὑπὸ τὸν ἀπὸ τῆς Σάμου
κατάπλουν, οὐκ ὀνειδίζω· ἀλλὰ Παμφίλου, γινώσκεις
τοῦτο καὶ σύ, ὅσον ἡμῖν διδόντος ἀργύριον, ὅτι
ταύτῃ ποτὲ ἐντυγχάνειν ἐδόκει, τὸ μειράκιον οὐ προσ-*
2 *ιέμην. ἡ δὲ καλῶς ἡμᾶς ἀντὶ τούτων ἠμείψατο τῇ
κακίστ' ἀπολουμένῃ Μεγάρᾳ χαρίζεσθαι θέλουσα. πρὸς
ἐκείνην δ' ἦν τις παλαιά μοι διὰ Στράτωνα ὑπόνοια·
[ἀλλὰ] ταύτην μὲν ⟨οὖν⟩ οὐδὲν ᾤμην ποιεῖν παράλογον*
3 *κακῶς λέγουσάν με. Ἁλῷα δ' ἦν, κἀπὶ τὴν παννυχίδα
πᾶσαι, ὥσπερ ἦν εἰκός, παρῆμεν. ἐθαύμαζον δὲ τῆς
Εὐξίππης τὴν ἀγερωχίαν· τὸ μὲν γὰρ πρῶτον κιχλίζουσα
μετ' ἐκείνης καὶ μωκωμένη τὴν δυσμένειαν ἐνεδείκνυτο,
εἶτα φανερῶς ποιημάτια ᾖδεν εἰς τὸν οὐκέθ' ἡμῖν*
4 *προσέχοντα ἐραστήν. κἀπὶ τούτοις μὲν ἧττον ἤλγουν·
ἀπαναισχυντήσασα δὲ εἰς τὸ φῦκός με καὶ τὸν παιδέ-
ρωτα ἔσκωπτεν. ἐδόκει δέ μοι πάνυ κακῶς πράττειν
ὡς μηδὲ κάτοπτρον κεκτῆσθαι· εἰ γὰρ εἶδεν ἑαυτὴν
χρῶμα σανδαράχης ἔχουσαν, οὐκ ἂν ἡμᾶς εἰς ἀμορφίαν*
5 *ἐβλασφήμει. ἐμοὶ μὲν οὖν βραχὺ μέλει περὶ τούτων·
ἀρέσκειν γὰρ τοῖς ἐρασταῖς, οὐχὶ Μεγάρᾳ καὶ Εὐξίππῃ
βούλομαι ταῖς πιθήκοις. δεδήλωκα δέ σοι ἵνα μή μέ
τι μέμψῃ. ἀμυνοῦμαι γὰρ αὐτὰς οὐκ ἐν σκώμμασιν
οὐδὲ βλασφημίαις, ἀλλ' ἐν οἷς μάλιστα ἀνιάσονται.
προσκυνῶ δὲ τὴν Νέμεσιν.*

x² *(Vat. 2 Flor. Π Δ)*

1 *αὐτῇ*] *αὐτὴ Flor. Π* | 4 *ποτὲ*] *ποτὲ μὲν Vat. 2 Δ* | *προσιέμην* Vind., *προσήμην* x², *προσείμην* Cob., sed cf. IV 7, 3; 11, 4 | 8 [*ἀλλὰ*] delet suppleto ⟨*οὖν*⟩ Hirsch. | 10 *παρῆμεν*] *παρ' ἡμῖν Δ* | 11 *Εὐξίππης*] vid. § 1 | *τὴν ἀγερωχίαν*] om. *Π Δ* | 13 *ποιημάτια* Nab., *ποιήματα* x² | 17 εἶδεν Bergl., οἶδεν x² | 20 Εὐξίππῃ] *vid.* § 1 | 21 *μή μέ τι* Mein., μή μ' ἔτι x², μηκέτι Vind. | 22 ἐν] *del.* Herch. (ed.) | 23 *οὐδὲ*] *οὐδ' ἐν Δ* | ἐν] del. Herch. (ed.)

7 [I 34].

Θαῒς Εὐθυδήμῳ.

*Ἐξ οὗ φιλοσοφεῖν ἐπενόησας, σεμνός τις ἐγένου
καὶ τὰς ὀφρῦς ὑπὲρ τοὺς κροτάφους ἐπῆρας. εἶτα
σχῆμα ἔχων καὶ βιβλίδιον μετὰ χεῖρας εἰς τὴν Ἀκαδή-
μ⟨ε⟩ιαν σοβεῖς, τὴν δὲ ἡμετέραν οἰκίαν ὡς οὐδὲ ἰδὼν
πρότερον παρέρχῃ. ἐμάνης Εὐθύδημε, ⟨ἢ⟩ οὐκ οἶδας* 2
*οἷός ἐστιν ὁ σοφιστὴς οὗτος ὁ ἐσκυθρωπακὼς καὶ τοὺς
θαυμαστοὺς τούτους διεξιὼν πρὸς ὑμᾶς λόγους. ἀλλ᾽
ἐμοὶ μὲν πράγματα πόσος ἐστὶν οἴει χρόνος ἐξ οὗ
παρέχει βουλόμενος ἐντυχεῖν; προσφθείρεται δὲ Ἑρ-* 3
*πυλ⟨λ⟩ίδι τῇ Μεγάρας ἅβρᾳ. τότε μὲν οὖν αὐτὸν οὐ
προσιέμην, σὲ γὰρ περιβάλλουσα κοιμᾶσθαι μᾶλλον
ἐβουλόμην ἢ τὸ παρὰ πάντων σοφιστῶν χρυσίον ⟨ἔχειν⟩.
ἐπεὶ δέ σε ἀποτρέπειν ἔοικε τῆς μεθ᾽ ἡμῶν συνηθείας,
ὑποδέξομαι αὐτὸν καί, εἰ βούλει, τὸν διδάσκαλον του-
τονὶ τὸν μισογύναιον ἐπιδείξω σοι νυκτὸς οὐκ ἀρκού-
μενον ταῖς συνήθεσιν ἡδοναῖς. λῆρος ταῦτά ἐστι καὶ* 4
*τῦφος καὶ ἐργολάβεια μειρακίων, ὦ ἀνόητε. οἴει δὲ
διαφέρειν ἑταίρας σοφιστήν; τοσοῦτον ἴσως ὅσον οὐ
διὰ τῶν αὐτῶν ἑκάτεροι πείθουσιν, ἐπεὶ ἕν γε ἀμφο-
τέροις τέλος πρόκειται τὸ λαβεῖν. πόσῳ δὲ ἀμείνους
ἡμεῖς καὶ εὐσεβέστεραι· οὐ λέγομεν θεοὺς οὐκ εἶναι,*

x² (*Vat. 2 Flor. ΠΔ*)

5 ⟨ε⟩ add. Mein. (ed.) | *δὲ*] om. *Vat. 2 Flor.* | 6 ⟨ἢ⟩ add. Mein., *οὐκ εἰδὼς* Cob., ⟨ἢ⟩ *οὐκ οἶσθα* Herch. | 11 ⟨λ⟩ add. Ald. | *τῇ*] *τῆς Δ* | 12 *προσιέμην*] *προσείμην* Cob. | *περιβάλλουσα κοιμᾶσθαι*] del. Mein. Malui supplere, ⟨*ἔχειν*⟩ cum Seil. | 14 *μεθ᾽*] *καθ᾽ ΠΔ* | 17 λῆρος—ἐστι Cob., λῆρος—εἰσι *Δ, λῆροι—εἰσι* cet. (λῆρον Π) | 18 τῦφος Seil. (ed.), τύφος x² | *20 πείθουσιν* Vind., *πείθειν* x² | 22 post εὐσεβέστεραι add. *αἳ* deleta interp. Nab.

ἀλλὰ πιστεύομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν
5 ἡμᾶς· οὐδ' ἀξιοῦμεν ἀδελφαῖς καὶ μητράσι μίγνυσθαι
τοὺς ἄνδρας, ἀλλ' οὐδὲ γυναιξὶν ἀλλοτρίαις. εἰ μὴ
ὅτι τὰς νεφέλας ὁπόθεν εἶεν καὶ τὰς ἀτόμους ὁποῖαι
ἀγνοοῦμεν, διὰ τοῦτο ἥττους δοκοῦμέν σοι τῶν σοφισ-
τῶν. καὶ αὐτὴ παρὰ τούτοις ἐσχόλακα καὶ πολλοῖς
6 διείλεγμαι. οὐδὲ εἷς ἑταίρᾳ ὁμιλῶν τυραννίδας ὀνει-
ροπολεῖ καὶ στασιάζει τὰ κοινά, ἀλλὰ σπάσας τὸν
ἑωθινὸν καὶ μεθυσθεὶς εἰς ὥραν τρίτην ἢ τετάρτην
ἠρεμεῖ. παιδεύομεν δὲ οὐ χεῖρον ἡμεῖς τοὺς νέους.
7 ἐπεὶ σύγκρινον, εἰ βούλει, Ἀσπασίαν τὴν ἑταίραν καὶ
Σωκράτην τὸν σοφιστήν, καὶ πότερος ἀμείνους αὐτῶν
ἐπαίδευσεν ἄνδρας λόγισαι· τῆς μὲν γὰρ ὄψει μαθητὴν
8 Περικλέα, τοῦ δὲ Κριτίαν. κατάβαλλε τὴν μωρίαν
ταύτην καὶ ἀηδίαν, ὁ ἐμὸς ἔρως Εὐθύδημε — οὐ
πρέπει σκυθρωποῖς εἶναι τοιούτοις ὄμμασι — καὶ πρὸς
τὴν ἐρωμένην ἧκε τὴν ἑαυτοῦ οἷος ἐπανελθὼν ἀπὸ
⟨τοῦ⟩ Λυκείου πολλάκις τὸν ἱδρῶτα ἀποψώμενος, ἵνα
μικρὰ κραιπαλήσαντες ἐπιδειξώμεθα ἀλλήλοις τὸ καλὸν
τέλος τῆς ἡδονῆς. καὶ σοὶ νῦν μάλιστα φανοῦμαι σοφή.
οὐ μακρὸν δίδωσιν ὁ δαίμων χρόνον τοῦ ζῆν· μὴ λάθῃς
τοῦτον εἰς αἰνίγματα καὶ λήρους ἀναλώσας. ἔρρωσο.

x² (*Vat. 2 Flor. ΠΔ*)

3sqq. *εἰ μὴ — ἠρεμεῖ* (in § 6)] del. Herm. | 4 *εἶεν*] *ἂν εἶεν* vel *εἰσιν* Mein. | 6 *παρὰ*] ⟨*γὰρ*⟩ *παρὰ* Nab. | 8 *τὸν*] *τὸ* Bergl., sed cfrt Theocr. XVIII 11 Mein. | 12 *πότερος*] *πότερον ΠΔ* | *ἀμείνους* Vind., *ἄμεινον* x² | 14 *κατάβαλλε*] *κατάβαλε* Vind. | 17 *ἑαυτοῦ*] *σαυτοῦ* Vind. | 18 ⟨*τοῦ*⟩ addidi cl. IV 17, 7 | post *πολλάκις* lac. sign. posuit Mein., post *οἷος* Reisk., supplet *εἴωθας* Reisk., *ἔφοιτας καί μοι παρεκάθησο* Mein., *ἐφοίτας* vel *ἧκες* Pol. | *ἵνα*] *ἵνα καὶ* Vind. | 19 *ἐπιδειξώμεθα*] *ἐπιδειξόμεθα ΠΔ* | *καλὸν*] del. Nab. | 20 ἡδονῆς. καὶ — σοφή] ἡδονῆς, *καὶ — φανῶμεν σοφαί* Nab., καὶ ⟨ἵνα⟩ — φανῶμαι σοφή, οὐ *Boissevain*

8 [I 35].

Σιμαλίων Πετάλῃ.

*Εἰ μὲν ἡδονήν σοί τινα φέρειν ἢ φιλοτιμίαν πρός
τινας τῶν διαλεγομένων οἴει τὸ πολλάκις ἡμᾶς ἐπὶ
τὰς θύρας φοιτᾶν καὶ τοῖς πεμπομένοις πρὸς τοὺς
εὐτυχεστέρους ἡμῶν θεραπαινιδίοις ἀποδύρεσθαι, οὐκ
ἀλόγως ἡμῖν ἐντρυφᾷς. ἴσθι μέντοι, καίτοι ποιῶν οἶδα
πρᾶγμα ἀσύμφορον ἐμαυτῷ, οὕτω με διακείμενον ὡς
ὀλίγοι τῶν ἐντυγχανόντων σοι νῦν ἀμεληθέντες ἂν
διατεθεῖεν. καίτοι γε ᾤμην τὸν ἄκρατον ἔσεσθαί μοι* 2
*παρηγόρημα, ὃν παρ' Εὐφρονίῳ τρίτην ἑσπέραν πολύν
τινα ἐνεφορησάμην, ὡς δὴ τὰς παρὰ τὴν νύκτα φροντίδας
διωσόμενος· τὸ δὲ ἄρα ἐναντίως ἔσχεν. ἀνερρίπισε
γάρ μου τὴν ἐπιθυμίαν ὥστε κλαίοντά με καὶ
βρυχώμενον ἐλεεῖσθαι μὲν παρὰ τοῖς ἐπιεικεστέροις,
γέλωτα δὲ τοῖς ἄλλοις παρέχειν. μικρὰ δ' ἔτι ἐστί* 3
μοι παραψυχὴ καὶ μαραινόμενον ἤδη παραμύθιον ....., ὅν μοι ὑπὸ τὴν λυπρὰν ⟨ἐν⟩ τῷ συμποσίῳ μέμψιν προσέρριψας ἀπ' αὐτῶν περισπάσασα τῶν πλοκάμων, ὡς δὴ πᾶσι τοῖς ὑφ' ἡμῶν πεμφθεῖσιν ἀχθομένη. εἰ δή σοι ταῦτα ἡδονὴν φέρει, ἀπόλαυε τῆς ἡμετέρας

x² *(Vat. 2 Flor. Π Δ)*

3 *τινας*] fort. delendum | *οἴει*] ante *πρὸς* hab. Vind., unde post *διαλεγομένων* supplet *σοι* Mein., *φέρει*—[*οἴει*] cl. § 3 Cob., sed cfrt IV 2, 2 Pol. | 10 *παρηγόρημα* Bergl., *κατηγόρημα* x² | 11 *ἐνεφορησάμην*] *ἐνεφορήθην* Cob. | 12 *τὸ*] *τότε* Δ | 13 *κλαίοντά*] *κλάοντά* Cob. | 14 *βρυχώμενον* Π Δ, *βρυχόμενον* cet. | 15 *ἔτι ἐστί* Cob., *ἔπεστί* x² | 16 lac sign. posui, scribit *ὅτε* pro *ὅν* Vind., *ὅ τι* Seil., sed excidit potius ὁ στέ*φανος vel simile* quid | 17 λυπρὰν] del. Cob., λυγρὰν Herch. *(ed.)* — *⟨ἐν⟩* add. Bergl., τῶν συμποσίων Vind. | 19 δὴ] μὴ *Bergl., δὴ μὴ* Wagn. | ὑφ'] ἐφ' Flor.

μερίμνης, κἂν ᾖ σοι φίλον διηγοῦ τοῖς νῦν μὲν μακα-
ριωτέροις ἡμῶν, οὐκ εἰς μακρὰν δέ, ἄνπερ ὡς ἡμεῖς
4 ἔχωσιν, ἀνιασομένοις. εὔχου μέντοι μηδέν σοι νεμε-
σῆσαι ταύτης τῆς ὑπεροψίας τὴν Ἀφροδίτην. ἕτερος
ἂν λοιδορούμενος ἔγραφε καὶ ἀπειλῶν, ἀλλ' ἐγὼ δεό-
μενος καὶ ἀντιβολῶν· ἐρῶ γάρ, ὦ Πετάλη, κακῶς. φο-
βοῦμαι δέ, μὴ κάκιον ἔχων μιμήσωμαί τινα τῶν περὶ
τὰς ἐρωτικὰς μέμψεις ἀτυχεστέρων.

9 [I 36].

Πετάλη Σιμαλίωνι.

Ἐβουλόμην μὲν ὑπὸ δακρύων οἰκίαν ἑταίρας τρέ-
φεσθαι· λαμπρῶς γὰρ ἂν ἔπραττον ἀφθόνων τούτων
ἀπολαύουσα παρὰ σοῦ· νῦν δὲ δεῖ χρυσίου ἡμῖν, ἱμα-
τίων, κόσμου, θεραπαινιδίων. ἡ τοῦ βίου διοίκησις
2 ἅπασα ἐντεῦθεν. οὐκ ἔστιν ἐν Μυρρινοῦντι πατρῷον
ἐμοὶ κτημάτιον, οὐδ' ἐν τοῖς ἀργυρείοις ἐμοὶ μέταλλον,
ἀλλὰ μισθωμάτια καὶ αἱ δυστυχεῖς αὗται καὶ κατεστε-
ναγμέναι τῶν ἀνοήτων ἐραστῶν χάριτες.| σοὶ δὲ ἐνιαυ-
τὸν ἐντυγχάνουσα ἀδημονῶ, καὶ αὐχμηρὰν μὲν ἔχω
τὴν κεφαλὴν μηδὲ ἰδοῦσα τὸν χρόνον τοῦτον μύρον,
τὰ δὲ ἀρχαῖα καὶ τρύχινα περιβαλλομένη ταραντινίδια

x² *(Vat. 2 Flor. Π Δ)*

2 ἄνπερ ὡς] ἂν ὥσπερ Δ | 3 ἔχωσιν Π Δ, ἔχουσιν cet., ἐρῶσιν Nab. | 7 μιμήσωμαί Π Δ, μιμήσομαί cet. | 8 μέμψεις] τέρψεις Nauck., θρύψεις Pol.

10 οἰκίαν] post τρέφεσθαι hab. Π Δ | 12 χρυσίου] χρυσίων Vind. | 14 ἐν] del. Cob., ἔτι Nab. | 16 καὶ (ante αἱ)] del. Pol. | 19 ἰδοῦσα] ἰδοῦσαν Mein. | τὸν χρόνον τοῦτον conj. in *cod. Pal. 132* [suprascr. τούτου], τοῦ χρόνου τούτου x² \ 20 ἀρ-χαῖα] ἀραῖα vel ἀραχνιαῖα Reisk. \ τρύχινα] τρίχινα Δ \ περι-βαλλομένη] προβαλλομένη Δ, περιβαλομένη Mein. (ed.)

*αἰσχύνομαι τὰς φίλας, οὕτως ἀγαθόν τί μοι γένοιτο.
εἶτα οἴει μέ σοι παρακαθημένην πόθεν ζήσειν; ἀλλὰ* 3
*δακρύεις· πεπαύσῃ μετὰ μικρόν. ἐγὼ δὲ ἂν μὴ [τις]
ὁ διδοὺς ᾖ, πεινήσω τὸ καλόν. θαυμάζω δέ σου καὶ
τὰ δάκρυα ὥς ἐστιν ἀπίθανα. δέσποινα Ἀφροδίτη,
φιλεῖν, ἄνθρωπε, φής, καὶ βούλει σοι τὴν ἐρωμένην
διαλέγεσθαι· ζῆν γὰρ χωρὶς ἐκείνης μὴ δύνασθαι. τί* 4
*οὖν; οὐ ποτήριά ἐστιν ἐπὶ τῆς οἰκίας ὑμῖν; .... μὴ
χρυσία τῆς μητρός, μὴ δάνεια τοῦ πατρὸς κομιούμενος.
μακαρία Φιλῶτις· [τοῖς] εὐμενεστέροις ὄμμασιν εἶδον
ἐκείνην αἱ Χάριτες· οἷον ἐραστὴν ἔχει Μενεκλείδην, ὃς
καθ' ἡμέραν δίδωσί τι. ἄμεινον γὰρ ἢ κλάειν. ἐγὼ* 5
*δὲ ἡ τάλαινα θρηνῳδόν, οὐκ ἐραστὴν ἔχω· στεφάνιά
μοι καὶ ῥόδα ὥσπερ ἀώρῳ τάφῳ πέμπει καὶ κλάειν δι'
ὅλης φησὶ τῆς νυκτός. ἐὰν φέρῃς τι, ἧκε μὴ κλάων,
εἰ δὲ μή, σεαυτὸν οὐχ ἡμᾶς ἀνιάσεις.*

10 [I 37].

Μυρρίνη Νικίππῃ.

Οὐ προσέχει μοὶ τὸν νοῦν ὁ Δ[ι]ίφιλος, ἀλλ' ἅπας

x² *(Vat. 2 Flor. Π Δ)*

2 *πόθεν*] *αὐτόθεν* Cob. | 2—3 *ἀλλὰ—μικρόν*] post *τὸ καλόν* hab. Herch. (ed.) | 3 [*τις*] del. Hirsch. | 6 *φιλεῖν—φής* Valck., *φιλεῖς—φής* x², *φιλεῖς—φιλεῖς* Vind. | 7—9 interr. et lac. sign. posuit Mein. (supplens *μὴ οὖν τὸ λοιπὸν φοιτᾶν παρ' ἡμᾶς ἐθελήσῃς εἰ*), om. lac. sign. scripto (post Wagn.) *κομιουμένοις*; Herch. (ed.), *τί οὖν οὐ ποτήρια ἦλθες ἀπὸ τῆς οἰκίας ἡμῖν—κομιούμενος*; Arnald., verba *μὴ—κομιουμένην*; (ita rescribit) post *ζήσειν* in § 3 collocat Herm. | 10 *Φιλῶτις* Seil. (ed.), *φιλότης* x² | [*τοῖς*] del. Wagn. (ed.), *εὐμενεστέροις τοῖς* Seil., del. *εὐμενεστέροις—Χάριτες* cl. III 8, 2 Mein. | 13 *ἔχω·*] *ἔχω, ὃς* Wagn. | 16 ἀνιάσεις] αἰτιάσει Herm. An *αἰτίασαι?*

18 τὸν νοῦν] fort. *τὰ νῦν*, cf. IV 5, 2; 6, 3 | [ι] del. Bergl.

*ἐπὶ τὴν ἀκάθαρτον Θεττάλην νένευκε· καὶ μέχρι μὲν
τῶν Ἀδωνίων καὶ ἐπίκωμός ποτε πρὸς ἡμᾶς καὶ κοι-
μησόμενος ἐφοίτα, ἤδη μέντοι ὡς ἄν τις ἀκκιζόμενος
καὶ ἐρώμενον ἑαυτὸν ποιῶν καὶ τά γε πλεῖστα ὑπὸ
τοῦ Ἕλικος, ὁπότε μεθυσθείη, ὁδηγούμενος· ἐκεῖνος
γὰρ τῆς Ἑρπυλλίδος ἐρῶν τὴν παρ' ἡμῖν ἠγάπα σχολήν·*
2 *νῦν μέντοι δῆλός ἐστι μηδ' ὅλως ἡμῖν ἐντευξόμενος·
τέσσαρας γὰρ [Λύσιδος] ἑξῆς ἡμέρας ἐν τῷ Λύσιδος
κήπῳ μετὰ Θεττάλης καὶ τοῦ κάκιστ' ἀπολουμένου
Στρογγυλίωνος, ὃς ταύτην αὐτῷ προὐμνηστεύσατο τὴν
ἐρωμένην ἐμοί τι προσκρούσας, κραιπαλᾷ. γραμματίδια
μὲν οὖν καὶ θεραπαινίδων διαδρομαὶ καὶ ὅσα τοιαῦτα
μάτην διήνυσται, καὶ οὐδὲν ἐξ αὐτῶν ὄφελος. δοκεῖ
δέ μοι μᾶλλον ὑπὸ τούτων τετυφῶσθαι καὶ ὑπερεν-*
3 *τρυφᾶν ἡμῖν. λοιπὸν οὖν ἀποκλείειν, κἂν ἔλθῃ ποτὲ
πρὸς ἡμᾶς κοιμη[θη]σόμενος, εἰ δὴ κνίσαι ποτὲ ἐκείνην
βουληθείη, διώσασθαι· εἴωθε γὰρ ἡ βαρύτης τῷ ἀμε-
λεῖσθαι καταβάλλεσθαι. εἰ δὲ μηδ' οὕτως ἀνύοιμεν,
θερμοτέρου τινὸς ἡμῖν ὥσπερ τοῖς σφόδρα κάμνουσι
φαρμάκου δεῖ. δεινὸν γὰρ οὐ τοῦτο μόνον εἰ τῶν
παρ' αὐτοῦ μισθωμάτων στερησόμεθα, ἀλλ' εἰ Θεττάλῃ*
4 *γέλωτα παρέξομεν. ἔστι σοι πειραθέν, ὡς φής, πολλά-
κις ἐφ' ἡλικίας φίλτρον. τοιούτου τινὸς βοηθήματος
δεόμεθα, ὃ τὸν πολὺν αὐτοῦ τῦφον, ἀλλ' οὖν καὶ τὴν
κραιπάλην ἐκκορήσει[εν]. ἐπικηρυκευσόμεθα δὴ αὐτῷ
καὶ δακρύσομεν πιθανῶς, καὶ τὴν Νέμεσιν δεῖν αὐτὸν*

x^2 *(Vat. 2 Flor. ΠΔ)*

4 *καὶ τά γε*] *τά τε* Vind. | 8 [*Λύσιδος*] del. Ald. | 12 *θεραπαινίδων*] *θεραπαινιδίων* cl. III 9, 2 Nab. | 16 [*θη*] del. Cob. | *εἰ* Mein., *ἐὰν* x^2, quod ortum e praec. *κἂν* | 22 *πειραθέν* *Δ*, *πειρασθέν* cet. | 24 *τῦφον* Seil., *τύφον* x^2 | 25 [*εν*] del. Mein. | 26 *πιθανῶς*] *ἱκανῶς* Vind.

ὁρᾶν εἰ οὕτως ἐμὲ περιόψεται ἐρῶσαν αὐτοῦ, καὶ τοι-
αῦτα ἄλλα ἐροῦμεν καὶ πλασόμεθα. ἥξει γὰρ ὡς ἐλεῶν 5
δήπου με καιομένην ἐπ' αὐτῷ· μεμνῆσθαι γὰρ τοῦ
παρελθόντος χρόνου καὶ τῆς συνηθείας ἔχειν καλῶς
ἐρεῖ, φυσῶν ἑαυτὸν ὁ λάσταυρος. συλλήψεται δὲ ἡμῖν
καὶ ὁ Ἕλιξ· ἐπ' ἐκεῖνον γὰρ ἡ Ἑρπυλλὶς ἀποδύσεται.
ἀλλ' ἀμφιβάλλειν εἴωθε τὰ φίλτρα καὶ ἀποσκήπτειεν
εἰς ὄλεθρον. βραχύ μοι μέλει· δεῖ γὰρ αὐτὸν ἢ ἐμοὶ
ζῆν· ἢ τεθνάναι Θεττάλῃ.

11 [I 38].

Μενεκλείδης Εὐθυκλεῖ.

Οἴχεται Βακχὶς ἡ καλή, Εὐθύκλεις φίλτατε, οἴχε-
ται, πολλά τέ μοι καταλιποῦσα δάκρυα καὶ ἔρωτος
ὅσον ἡδίστου τότε, τοσοῦτον πικροῦ νῦν μνήμην. οὐ
γὰρ ἐκλήσομαί ποτε Βακχίδος, οὐχ οὗτος ἔσται ⟨ὁ⟩
χρόνος. ὅσην συμπάθειαν ἐνεδείξατο· ἀπολογίαν ἐκεί- 2
νην καλῶν οὐκ ἄν τις ἁμαρτάνοι τοῦ τῶν ἑταιρῶν
βίου. καὶ εἰ συνελθοῦσαι ἅπασαι πανταχόθεν εἰκόνα
τινὰ αὐτῆς ἐν Ἀφροδίτης ἢ Χαρίτων θεῖεν, δεξιὸν ἄν
τί μοι ποιῆσαι δοκοῦσιν. τὸ γὰρ θρυλούμενον ὑπὸ 3
πάντων, ὡς πονηραί, ὡς ἄπιστοι, ὡς πρὸς τὸ λυσι-

x^2 *(Vat. 2 Flor. Π Δ)*

3 καιομένην] καομένην Herch. (ed.) | αὐτῷ Π Δ, αὐτῶν cet. | 7 καὶ ἀποσκήπτειν Ald., καὶ ἀποσκήψειν x^2, καὶ ⟨δὴ καὶ⟩ ἀποσκήπτειν vel κἂν ἀποσκήψειεν Mein., ante εἰς add. ἐνίοτε Cob., post ὄλεθρον add. ἔσθ' ὅτε Pol.
13 τότε — πικροῦ Jacobs., τὸ τέλος οὐ πονηροῦ x^2, τὸ τέλος τοσοῦτο ἀνιαροῦ vel λυπηροῦ Gloss. Eichst., τότε τόσον πονηροῦ Abresch., ποτὲ τὸ τέλος αὖ πονηροῦ Arnald. | 14 ⟨ὁ⟩ add. Seil. | 16 ἁμαρτάνοι] ἁμάρτοι Mein. (ed.) | 19 θρυλούμενον] θρυλλούμενον Π Δ

τελὲς βλέπουσαι μόνον, ὡς ἀεὶ τοῦ διδόντος, ὡς τίνος
γὰρ οὐκ αἴτιαι κακοῦ· τοῖς ἐντυγχάνουσι, διαβολὴν
ἐπέδειξεν ἐφ' ἑαυτῆς ἄδικον· οὕτω πρὸς τὴν κοινὴν
4 βλασφημίαν τῷ ἤθει παρετάξατο. οἶσθα τὸν Μήδειον
ἐκεῖνον τὸν ἀπὸ τῆς Συρίας δευρὶ κατάραντα μεθ'
ὅσης θεραπείας καὶ παρασκευῆς ἐσόβει, εὐνούχους
ὑπισχνούμενος καὶ θεραπαίνας καὶ κόσμον τινὰ βαρ-
βαρικόν· καὶ ὅμως ἥκοντα αὐτὸν οὐ προσίετο, ἀλλ'
ὑπὸ τοὐμὸν ἠγάπα κοιμωμένη χλανίσκιον τὸ λιτὸν τοῦτο
καὶ δημοτικόν, καὶ τοῖς παρ' ἡμῶν γλίσχρως αὐτῇ πεμπο-
μένοις ἐπανέχουσα τὰς σατραπικὰς ἐκείνας καὶ πολυ-
5 χρύσους δωρεὰς διωθεῖτο. τί δαί; τὸν Αἰγύπτιον
ἔμπορον ὡς ἀπεσκοράκισεν ὅσον ἀργύριον προτείνοντα.
οὐδὲν ἐκείνης ἄμεινον εὖ οἶδ' ὅτι γένοιτ' ἄν. [ὡς
χρηστὸν ἦθος οὐκ εἰς εὐδαίμονος βίου προαίρεσιν
δαίμων τις ὑπήνεγκεν.] εἶτ' οἴχεται ἡμᾶς ἀπολιποῦσα
καὶ κείσεται λοιπὸν μόνη ἡ Βακχίς. ὡς ἄδικον,
ὦ φίλαι Μοῖραι· ἔδει γὰρ αὐτῇ συγκατακεῖσθαί με
6 καὶ νῦν ὡς τότε. ἀλλ' ἐγὼ μὲν περίειμι καὶ τροφῆς
ψαύω καὶ διαλέξομαι τοῖς ἑταίροις, ἡ δὲ οὐκέτι με
φαιδροῖς τοῖς ὄμμασιν ὄψεται μειδιῶσα, οὐδὲ ἵλεως
καὶ εὐμενὴς διανυκτερεύσει τοῖς ἡδίστοις ἐκείνοις ἀπο-

x² *(Vat. 2 Flor. Π Δ)*

2 γὰρ] del. Herw. | αἴτιαι *Π Δ*, αἴτια cet. | 8 ἥκοντα Seil., ἄκοντα x², κλάοντα Mein. (ed.), ἄγοντα Metr., ὀργῶντα Pol. | 9 χλανίσκιον *Π Δ*, χλανίδιον cet. | 12 διωθεῖτο] διεωθεῖτο Cob., sed vid. III 4, 4 | τί δαί; τὸν] τί δὲ τὸν *Δ*, τί λέξω τὸν Mein. | 14—16 [ὡς—ὑπήνεγκεν.] expunxi (εὐδαίμονος Bergl., εὐδαίμονα x², pro ὑπήνεγκεν legit ἀπήνεγκεν Mein., ὑπήγαγεν Hirsch.) | 20 ψαύω] ψαύσω Reisk. | διαλέξομαι] διαλέγομαι Wagn. | 22 ἀπολαύσμασιν Mein. (ed.), κολάσμασιν *Π Δ*, κολαύμασιν cet., ἀκολαστάσμασιν Bergk., παλαίσμασιν *Herm.*, κολακεύμασιν Herch. (ed.)

λαύσμασιν. ἀρτίως μὲν οἷον ἐφθέγγετο, οἷον ἔβλεπεν, 7
ὅσαι ταῖς ὁμιλίαις αὐτῆς σειρῆνες ἐνίδρυντο, ὡς δὲ
ἡδύ τι καὶ ἀκήρατον ἀπὸ τῶν φιλημάτων νέκταρ ἔσταζεν·
ἐπ' ἄκροις μοι δοκεῖ τοῖς χείλεσιν αὐτῆς ἐκάθισεν ἡ
Πειθώ. ἅπαντα ἐκείνη γε τὸν κεστὸν ὑπέζωστο, ὅλαις
ταῖς Χάρισι τὴν Ἀφροδίτην δεξιωσαμένη. ἔρρει τὰ 8
παρὰ τὰς προπόσεις μινυρίσματα, καὶ ἡ τοῖς ἐλεφαν-
τίνοις δακτύλοις κρουομένη λύρα ἔρρει. κεῖται δὲ ἡ
πάσαις μέλουσα Χάρισι κωφὴ λίθος καὶ σποδιά. καὶ
Μεγάρα μὲν ἡ ἱππόπορνος ζῇ, οὕτω Θεαγένην συλή-
σασα ἀνηλεῶς, ὡς ἐκ πάνυ λαμπρᾶς οὐσίας τὸν ἄθλιον
χλαμύδιον ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι στρατευσό-
μενον· Βακχὶς δὲ ἡ τὸν ἐραστὴν φιλοῦσα ἀπέθανε.
ῥᾴων γέγονα πρὸς σὲ ἀποδυράμενος, Εὐθύκλεις φίλ- 9
τατε· ἡδὺ γάρ μοί τι δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν
καὶ γράφειν· οὐδὲν γὰρ ἢ τὸ μεμνῆσθαι καταλέλειπται.
ἔρρωσο.

12 [fragm. 4].

Λέαινα Φιλοδήμῳ.

Εἶδόν σου τὴν νύμφην μυστηρίοις καλὸν περιβεβλημένην θέριστρον· ἐλεῶ σε νὴ τὴν Ἀφροδίτην, ταλαίπωρε, οἷα πάσχεις μετ' ἐκείνης καθεύδων τῆς χελώνης. οἷον τὸ χρῶμα ⟨τῆς⟩ γυναικός, αὐτοσανδαράκη· ἡλίκους δὲ καθεῖτο τοὺς πλοκάμους ἡ νύμφη,

x² *(Vat. 2 Flor. Π Δ)*

4 *ἐκάθισεν*] *ἐκάθιζεν* Mein. (qui *ἐπ' — Πειθώ* collocat post *ἐνίδρυντο*) | 5 *ἅπαντα*] *ἱμάντα* Fried. | *ὑπέζωστο* Mein., *ὑπεζώσατο* x² | *ὅλαις*] *αὐταῖς* Reisk., *ὁμοῦ* Mein. (ed.) | 7 *προπόσεις*] om. *προ* *Π Δ* | 9 *μέλουσα Π Δ*, *μέλλουσα* cet. | *Χάρισι* Herw., *χάρισι* x² | 12 *χλαμύδιον*] *χλανίδιον* Vind. | 15 *λαλεῖν*] *λέγειν* Vind. | 22 ⟨*τῆς*⟩ add. Mein.

2 οὐδὲν ἐοικότας ταῖς ἐπὶ τῆς κορυφῆς θριξίν. ὅσον
δὲ κατεπέπλαστο ψιμύθιον· καὶ ἡμᾶς τὰς ἑταίρας λοι-
δοροῦσιν ὅτι καλλωπιζόμεθα. ἀλλὰ μεγάλην εἶχεν
ἅλυσιν — ἀξία γέ ἐστιν ἐν ἁλύσει διατελεῖν πλὴν
3 οὐχὶ χρυσῇ — φάσματος ἔχουσα πρόσωπον. ἡλίκοι δὲ
οἱ πόδες, ὡς πλατεῖς, ὡς ἄρ<ρ>υθμοι. αἰαῖ, γυμνὴν
περιλαβεῖν ἐκείνην οἷόν ἐστιν· ἐμοὶ μὲν καὶ βαρύ τι
ἐδόκει προσπνεῖν· μετὰ φρύνου καθεύδειν ἂν εἱλόμην,
Νέμεσι δέσποινα. ἐμβλέψαι τί μὴ δωρίδι βούλομαι
ἢ μετὰ τῆς ἁλύσεως καὶ τῶν περισκελ[λ]ίδων συγκερ ....

13 [fragm. 6].

* * * * * *

.... ἐραστοῦ χωρίον Νύμφαις θυσίαν λέγουσα ὀφεί-
λειν. εἴκοσιν ἀπέχει τῆς πόλεως στάδια· αὐτὸ δ' ἐστὶ
λειμών τις ἢ κῆπος· ὀλίγη δὲ παρὰ τὴν ἔπαυλιν ἀνεῖ-
ται σπόριμος, τὰ δὲ λοιπὰ κυπαρίττια καὶ μυρρίναι,
2 ἐρωτικοῦ, φίλη, κτημάτιον ὄντως, οὐ γεωργοῦ. εὐθὺς
μὲν ἡ ἄ[μ]φοδος ἡμῶν εἶχέ τινα παιδιάν· τὰ μὲν γὰρ

x^2 (*Vat. 2 Flor. Π Δ*)

1 τῆς κορυφῆς Dorvill., ταῖς κορυφαῖς x^2 | 4 ἅλυσιν] ἅλυσιν χρυσῆν Herw. | ἀξία] ἄξιά *Π Δ* | 6 <ρ> add. Seil. (ed.), ἄρεθμοι *Flor. Vat. 2* | αἰαῖ Seil. (ed.), αἶ αἶ *Π Δ*, αἶ αἶ cet. | 7 καὶ] om. *Π Δ* | 8 ἐδόκει προσπνεῖν Cob., δοκεῖν προσπνέειν x^2 | εἱλόμην] ἑλοίμην Wagn. | 9 sq. δωρίδι] δώριδι *Π* | τῶν] τὴν *Flor.* | [λ] del. Wagn. (ed.), π ... σκ ... λλίδων *Π Δ* | συγκε-ρ ...] συγκαρ .... *Vat. 2 Π.* Rescribit ἐμβλέψαι σε τῇ Δωρίδι εὔχομαι, ἢ μετὰ τῆς — συγκεραυνοῦσθαι αὐτήν Seil., ἐμβλέψαι τινὶ δωρίδι — συγκεκρᾶσθαι ἐκείνῃ Pol.

12 ἐραστοῦ *Π Δ*, στοῦ cet. | 14 παρὰ — ἀνεῖται *Π Δ*, περὶ — ἀνεῖται cet., περὶ — κεῖται Seil. | 15 μυρρίναι Seil. (ed.), μυρρίνη *Δ*, μυρίνη cet. | 17 [μ] del. Mein. (ed.), ἄνω ὁδὸς *Seil.*, ἄνοδος Herch. (ed.)

ἀλλήλας ἐσκώπτομεν ἢ τοὺς ἐραστάς, τὰ δ' ὑπὸ τῶν
ὑπαντώντων ἐρ⟨ρ⟩ινώμεθα. Νικίας δ' ὁ λάσταυρος
οὐκ οἶδα πόθεν ἐπανιὼν 'ποῦ' φησιν ἡμῖν 'ἀθρόαι;
τίνος ἄπιτε καταπιεῖν ἀγρόν; μακάριον ἐκεῖνο τὸ χω-
ρίον ὅποι βαδίζετε, ὅσας ἕξει συκᾶς'. τοῦτον μὲν οὖν 3
Πετάλη ἀπεσόβησε κωμῳδήσασα ἀκολάστως. ἀπέπτυσε
γὰρ ἡμᾶς καὶ ἀκαθάρτους εἰπὼν ἀπεφθάρη. ἡμεῖς δὲ
πυρακάνθας ἀφαιροῦσαι καὶ κλωνία καὶ ἀνεμώνας συλ-
λέγουσαι παρῆμεν αἰφνιδίως· ἔλαθε δ' ἡμᾶς ἡ ὁδὸς
διὰ τὴν παιδιὰν ὡς οὐδ' ⟨ἂν⟩ ᾠήθημεν ταχέως ἀνυ-
σθεῖσα. εὐθὺς δὲ περὶ τὴν θυσίαν ἦμεν. μικρὸν δὲ 4
ἄπωθεν τῶν ἐπαυλίων πέτρα τις ἦν συνηρεφὴς κατὰ
κορυφὴν δάφναις καὶ πλατανίστοις, ἑκατέρωθεν δὲ
μυρ⟨ρ⟩ίνης εἰσὶ θάμνοι, καί πως ἐξ ἐπιπλοκῆς αὐτὴν
περιθεῖ κιττὸς ἐν χρῷ τῇ λίθῳ προσπεφυκώς· ἀπὸ δὲ
αὐτῆς ὕδωρ ἀκήρατον ἐστάλαττεν. ὑπὸ δὲ ταῖς ἐξο-
χαῖς τῶν πετριδίων Νύμφαι τινὲς ἵδρυνται καὶ Πὰν
οἷον κατοπτεύων τὰς Ναΐδας ὑπερέκυπτεν· ἀντικρὺ 5
βωμὸν αὐτοσχεδίως ἐνήσαμεν, εἶτα σχιζία καὶ πόπανα
ἐπ' αὐτῷ θέμεναι καταρχόμεθα λευκῆς ἀλεκτορίδος,.

x^2 *(Vat. 2 Flor. Π Δ)*

2 ⟨ρ⟩ add. Seil. (ed.) | 3 *οἶδα πόθεν*] *οἶδ' ὁπόθεν* Cob. | *ποῦ*] *ποῖ* Seil., sed cf. I 8, 4 | *ἡμῖν 'ἀθρόαι;*] *'ἡμῖν ἀθρόαι;* vel *'ὑμεῖς ἀθρόαι;* Seil., delet interp. ante *τίνος* Mein. | 4 *καταπιεῖν* Cob., *ἐκπιεῖν* x^2. Cf. II 31, 2 | 5 *ὅσας — συκᾶς*] *ὅσα — σῦκα* Herw. | 7 *γὰρ*] *δὲ* Seil., *οὖν* Mein. | *ἀπεφθάρη*] *ἀπεστράφη* Dorvill., *ἀπεπτάρη* Metr. | 8 *πυρακάνθας* Seil. (ed.), *πυρακάνθους* x^2 | 9 *αἰφνιδίως Vat. 2*, *ἀφνιδίως* cet. | 10 ⟨ἂν⟩ add. Pol. | *ἀνυσθεῖσα*] *ἐνυσθεῖσα Vat. 2*, *νυσθεῖσα Flor.* | 11 *περὶ*] *παρὰ Π Δ* | 14 ⟨ρ⟩ add. Seil. (ed.) | *ἐπιπλοκῆς* Herch. (ed.), *ἐπιπολῆς* x^2, *ἐπιβολῆς* Mein. (ed.) | 15 *τῇ*] *τῷ* Herch. | 16 *ἀκήρατον*] *ἀκέρατον Π* | *ὑπὸ*] *ἐπὶ* Mein. (ed.) | 17 *πετριδίων*] *πετρίδων Π Δ* | *Πὰν* Seil. (ed.), *πᾶν* x^2 | *οἷον*] *οἵων* Vat. 2 | 19 *ἐνήσαμεν*] *ἐστήσαμεν Δ* | 20 *αὐτῷ*] *αὐτῶν* Vat. 2

καὶ μελίκρατον ἐπισπείσασαι καὶ λιβανωτὸν ἐπιθυμιά-
σασαι τῷ πυριδίῳ καὶ προσευξάμεναι πολλὰ μὲν ταῖς
Νύμφαις πλείω δὲ ἢ οὐκ ἐλάττω τῇ Ἀφροδίτῃ, ἱκετεύ-
6 ομεν διδόναι τινὰ ἡμῖν ἐρωτικὴν ἄγραν. [τὸ] λοιπὸν
εὐτρεπεῖς ἐπὶ τὴν εὐωχίαν ἦμεν. 'Ἴωμεν' ἔφη ἡ Μέ-
λισσα 'οἴκαδε καὶ κατακλινῶμεν'. 'μὴ μὲν οὖν πρός
τε τῶν Νυμφῶν καὶ τοῦ Πανός' εἶπον ἐγώ 'τούτου·
ὁρᾷς γὰρ ὥς ἐστιν ἐρωτικός· ἡδέως ἂν ἡμᾶς ἐνταῦθα
κραιπαλώσας ἴδοι· ἀλλ' ὑπὸ ταῖς μυρρίναις ἦν ἰδοὺ
τὸ χωρίον ὡς ἔνδροσόν ἐστιν ἐν κύκλῳ καὶ τρυφεροῖς
7 ἄνθεσι ποικίλον. ἐπὶ ταύτης βουλοίμην ἂν τῆς πόας
κατακλιθῆναι ἢ ἐπὶ τῶν ταπητίων ἐκείνων καὶ τῶν
μαλθακῶν ὑποστρωμάτων. νὴ Δία, ἀλλὰ ἔχει γέ τι
πλέον τῶν ἐν ἄστει τἀνταῦθα συμπόσια, ἔνθα ἀγροῦ
8 ὑπαίθριοι χάριτες'. 'ναὶ ναί, λέγεις καλῶς' ἔφασαν·
εὐθὺς οὖν κατακλώμεναι αἱ μὲν σμίλακος αἱ δὲ μυρ-
ρίνης κλάδους καὶ τὰ χλανίσκια ἐπιστορέσασαι αὐτο-
σχεδίως συνερρίψαμεν. ἦν δὲ καὶ τοὔδαφος λωτῷ καὶ
τριφύλλῳ μαλθακόν· ἐν μέσῳ κύκλῳ καί τινες ὑάκιν-
9 θοι καὶ ἄνθεμα διαποίκιλα τὴν ὄψιν ὥραζον· ἐαρινοῖς
ἐφιζάνουσαι πετάλοις ἡδὺ καὶ κωτίλον ἀηδόνες ἐψιθύ-

x² (*Vat. 2 Flor. ΠΔ*)

4 [τὸ] expunxi | 5 εὐτρεπεῖς Seil., εὐπρεπεῖς x² | 7 τε Cob., γε x², del. Herch. (ed.) | 8 ἂν Seil., οὖν x² (lac. sign. *Flor.*) | 9 ἦν ἰδοὺ Pierson., ἦν ἰδοὺ *Vat. 2*, ἦν· ἰδοὺ cet., ὃν· ἰδοὺ Dorvill. | 10 ἐν κύκλῳ] del. Herch. | 12 κατακλιθῆναι] κατακλινῆναι Cob. | ταπητίων] ταπήτων Cob. | 13 μαλθακῶν] μαλακῶν Herch. | legebatur ὑποστρωμάτων, νὴ Δία· ante Cob. | ἔχει γέ Cob., ἐχέτω x², ἔχει τοί Seil. | 17 χλανίσκια] χλανιδίσκια Bast., χλανίδια Mein. | αὐτοσχεδίως συνερρίψαμεν] ⟨στιβάδα⟩ αὐτοσχεδίως συνερράψαμεν Mein. (ed.). Possis etiam ⟨κλίνας⟩, vel ⟨ἕδρας⟩ ut Pol. | 20 ἄνθεμα διαποίκιλα Dorvill., ἀνθεμάδια ποικίλα x² | ὥραζον Cob., ὡράϊζον x² (ὁράϊζον *Vat. 2*)

ϱιζον, ἠϱέμα δὲ οἱ σταλαγμοὶ καταλειβόμενοι ἀπὸ
τῆς οἷον ἱδϱούσης σπιλάδος τϱυφεϱόν τινα παϱεῖχον
ψόφον ἐαϱινῷ πϱέποντα συμποσίῳ. οἶνος ἦν οὐκ ἐπι-
χώϱιος, ἀλλὰ Ἰταλός, οἷον σὺ ἔφης καδίσκους ἐξ
Ἐλευσῖνι ἐωνῆσθαι, σφόδϱα ἡδὺς καὶ ἄφθονος· ᾠά τε 10
τὰ τϱέμοντα ταῦτα ὥσπεϱ αἱ πυγαί, καὶ χιμαιϱίδος
ἀπαλῆς τεμάχη καὶ ἀλεκτοϱίδες οἰκουϱοί· εἶτα γα-
λάκτια ποικίλα, τὰ μὲν μελίπηκτα τὰ δ' ἀπὸ ταγήνου
— πυτίας μοι δοκεῖ καλοῦσιν αὐτὰ καὶ σκώληκας [τὰ
πεμμάτια] — ὅσα τε ἀγϱὸς ἡμῖν ἐαϱινῆς ὀπώϱας ἐπεδα-
ψιλεύετο. μετὰ δὲ τοῦτο συνεχῶς πεϱιεσόβουν αἱ κύ- 11
λικες· καὶ πϱοπιεῖν μέτϱον ἦν ⟨πλὴν⟩ τϱεῖς φιλοτησίας
οὐ τὸ ποσόν. ἐπιεικῶς δέ πως τὰ μὴ πϱοσηναγκασμένα
τῶν συμποσίων τῷ συνεχεῖ τὸ πλεῖον ἀναλαμβάνει·
ὑπεψεκάζομεν ⟨οὖν⟩ μικϱοῖς τισι κυ⟨μ⟩βίοις ἀλλεπαλ-

x² *(Vat. 2 Flor. Π Δ)*

4 οἷον — Ἐλευσῖνι Herch. (ed.), οἵους ἔφη καδίσκους ἐξ Ἐλευσῖνος x², οἷον ϛ' ἔφης κ. τ. λ. vel οἷον ἔφης κ' καδίσκους κ. τ. λ. Seil., οἷον ἐξ ἔφης — ἐξ Ἐλευσῖνος Mein. (ed.) | 5 τε τὰ scripsi, τά τε x² (τέ τε *Vat. 2*), del. τά Wagn. (ed.) | τϱέμοντα ταῦτα] τϱέμοντα Π Δ, τετϱεμαίνοντα Mein., τετμημένα Herch. (ed.) | 6 post πυγαὶ supplet τῆς Θϱυαλλίδος Mein., delet αἱ scripto λίσπαι Herch. (ed.) | χιμαιϱίδος Heringa, χειμεϱίδος x² | 8 γαλάκτια] γαλάκτινα Herch. (ed.) | ταγήνου Mein. (ed.), ταγηνούς x² | 9 πυτίας] πυϱιάτας Mein., καπύϱια vel καπυϱίδια Herch. | δοκεῖ Seil., δοκῶ x² | σκώληκας] κώληκας Π Δ, κόλλικας (clausa parenthesi post καλοῦσιν) Mein. | [τὰ πεμμάτια] del. Herch., καὶ πεμμάτια Mein. | 10 ὀπώϱας] ὥϱας Mein. | 12 αἱ Seil. (ed.), οἱ x² | πϱοπιεῖν Pol., τὸ πιεῖν x², τὸ πιεῖν Mein., qui add. sq. ⟨πλὴν⟩. Pro τϱεῖς hab. τῆς mrg. Π et Δ, unde [τὸ πιεῖν] — τῆς — οὐδ' ὁπωσοῦν (vel ὁπωστιοῦν) Bergk. Mavult τὸ πιεῖν — τϱεῖς — οὐ τὸ πλεῖον Maehl. | 14 τῶν συμποσίων] τῷ συμποσίῳ Π Δ | τῷ (τῶν *Vat. 2*) συνεχεῖ τὸ] τὸν νουνεχῆ Bergk. | πλεῖον] πλέον Herch. (ed.), ταπεινὸν Pol. | 15 ὑπεψεκάζομεν Seil. (ed.), ὑπεψέκαζε μὲν x², ὑποψεκάζοντα deleta interp. Herch. (ed.) | ⟨οὖν⟩ add. Bergk. | ⟨μ⟩ add. Seil. (ed.) | ἀλλεπαλλήλοις Cob., ἀλλ' ἐπαλλήλοις x²

λήλοις. καὶ παρῆν Κρου[σ]μάτιον ἡ Μεγάρας καταυ-
λοῦσα, ἡ δὲ Σιμμίχη ἐρωτικὰ μέλη πρὸς τὴν ἁρμονίαν
12 *ᾖδεν. ἔχαιρον αἱ ἐπὶ τῆς πίδακος Νύμφαι. ἡνίκα*
δὲ ἀναστᾶσα κατωρχήσατο καὶ τὴν ὀσφῦν ἀνεκίνησεν
ἡ Πλαγγών, ὀλίγου ὁ Πὰν ἐδέησεν ἀπὸ τῆς πέτρας
ἐπὶ τὴν πυγὴν αὐτῆς ἐξάλλεσθαι. αὐτίκα δὲ ἡμᾶς
[ἔνδον] ἐδόνησεν ἡ μουσικὴ καὶ ὑποβεβρεγμένον εἴ-
13 *χομεν τὸν νοῦν· οἶδας ὅ τι λέγω. τὰς τῶν ἐραστῶν*
χεῖρας ἐμαλάττομεν τοὺς δακτύλους ἐκ τῶν ἁρμῶν
ἠρέμα πως χαλῶσαι, καὶ πρὸς Διονύσῳ ἐπαίζομεν· καί
τις ἐφίλησεν ὑπτιάσασα καὶ μασταρίων ἐφῆκεν ἅψασθαι,
καὶ οἷον ἀποστραφεῖσα ἀτεχνῶς τοῖς βουβῶσι τὸ κατ-
14 *όπιν τῆς ὀσφύος προσαπέθλιβε. διανίστατο δὲ ἤδη*
ἡμῶν μὲν τῶν γυναικῶν τὰ πάθη, τῶν ἀνδρῶν δὲ
ἐκεῖνα· ὑπεκδυόμεναι δ' οὖν μικρὸν ἄπωθεν συνηρεφῆ
τινα λόχμην εὕρομεν, ἀρκοῦντα τῇ τότε κραιπάλῃ θά-
λαμον. ἐνταῦθα διανεπαυόμεθα τοῦ πότου καὶ τοῖς
15 *κοιτωνίσκοις ἀπιθάνως εἰσεπαίομεν· κᾄπειτα ἡ μὲν*
κλωνία μυρρίνης συνέδει ὥσπερ στέφανον ἑαυτῇ πλέ-
κουσα καὶ 'εἰ πρέπει μοι, φίλη, σκέψαι', ἡ δ' ἴων

x² (*Vat. 2 Flor. Π Δ*)

1 [σ] del. Seil. Cf. I 15, 4 | *Μεγάρας*] *Μεγάρα Π Δ*, *Μεγαρὶς* Maehl., at cf. IV 7, 2 | 2 *Σιμμίχη*] *Σιμίχη* Herch. | *ἐρωτικὰ μέλη* Mein., *πρὸς τὰ μέλη* x², *πρέποντα μέλη* Maehl., del. Herch. | *πρὸς τὴν Π Δ*, *καὶ πρὸς τὴν* cet. | 5 *Πὰν* Dorvill., *πᾶν* x² | 6 *πυγὴν*] *πηγὴν Vat. 2 Δ* | 7 [*ἔνδον*] del. Herch. (ed.) | *ὑποβεβρεγμένον* Mein., *ὑποβεβρεγμέναι* x² | 8 *οἶδας*] *οἶσθ'* Cob. | *τὰς*] *τὰς δὲ* Herch. | 10 *πρὸς Διονύσῳ*] *οὐκ ἀπροσδιονύσως* Herch. | 11 *ἐφίλησεν*] *ἐφίλησεν τὸν ἐραστὴν* Mein. | 12 *ἀτεχνῶς* Seil. (ed.), *ἀτέχνως* x² | 14 *ἡμῶν μὲν τῶν γυναικῶν*] *ἡμῖν μὲν ταῖς γυναιξὶ* Seil. | *πάθη — ἐκεῖνα*] *πλήθη — ἔμεινεν* Mein. (ed.) | 16 *εὕρομεν*] *ηὕρομεν* Herch. (ed.) | 18 *κοιτωνίσκοις* Mein., *χιτωνίσκοις* x². Totam § 14 post § 15 *collocat Mein.* | 20 *καὶ*] *καὶ ⟨εἶπεν⟩* Seil.

ἔχουσα κάλυκας ἐπανῄει ‘ὡς χρηστὸν ἀποπνεῖ’ λέγουσα, ἡ δὲ μῆλα ἄωρα ‘ἰδοὺ ταυτί’ ἐκ τοῦ κόλπου προφέρουσα ἐπεδείκνυτο, ἡ δὲ ἐμινύριζεν, ἡ δὲ φύλλα ἀπὸ τῶν κλωνίων ἀφαιροῦσα διέτρωγεν ὥσπερ ἀκκιζομένη· καὶ τὸ δὴ γελοιότατον, πᾶσαι γὰρ ἐπὶ ταὐτὸν ἀνιστάμεναι ἀλλήλας λανθάνειν ἐβουλόμεθα· θατέρᾳ δὲ οἱ ἄνθρωποι ὑπὸ τὴν λόχμην παρήρχοντο. οὕτως μικρὰ 16 παρεμπορευσαμέναι⟨ς⟩ τῆς ἀφροδίτης πάλιν συνειστήκει πότος· καὶ οὐκέθ’ ἡμῖν ἐδόκουν προσβλέπειν ὡς πρότερον αἱ Νύμφαι, ἀλλ’ ὁ Πὰν [καὶ ὁ Πρίαπος] ἥδιον. ἐμφαγεῖν δ’ ἦν πάλιν ὀρνίθια ταυτὶ τὰ τοῖς δικτύοις ἁλισκόμενα καὶ πέρδικες, καὶ ἐκ τρυγὸς ἥδιστοι βότρυες, καὶ λαγῳδίων νῶτα. εἶτα κόγχοι καὶ κήρυκες ἦσαν [οἱ] ἐξ ἄστεος κομισθέντες, καὶ ἐπιχώριοι κοχλίαι καὶ μύκητες οἱ ἀπὸ τῶν κομάρων, καὶ σισάρων εὐκάρδιοι ῥίζαι ὄξει δεδευμέναι καὶ μέλιτι· ἔτι μέντοι 17 ὃ μάλιστα ἡδέως ἐφάγομεν, θριδακῖναι καὶ σέλινα· ⟨π⟩ηλίκαι δοκεῖς θριδακῖναι; πλησίον δὲ ἦν ὁ κῆπος, ⟨καὶ⟩ ἑκάστη ‘ταύτην ἕλκυσον’ ‘μὰ Δία ἀλλά μοι ταύτην’ ‘μὴ μὲν οὖν ἀλλὰ ἐκείνην’ ἐλέξαμεν ταῖς θεραπαινίσιν· ἦσαν δὲ αἱ μὲν εὔφυλλοι καὶ μακραί, αἱ δὲ οὖλαι ⟨καὶ⟩ βοστρύχοις ἐμφερεῖς, ἀλλὰ βραχεῖαι,

x² *(Vat. 2 Flor. Π Δ)*

1 ἐπανῄει] ἐπῄνει deleto sq. λέγουσα Herch. (ed.), ἐπήνθει Maehl. | 4 ἀκκιζομένη] σχινιζομένη Mein. | 5 γὰρ] del. Herch. (ed.) | 7 ἄνθρωποι] ἄνδρες Cob. | παρήρχοντο Mein. (ed.) περιήρχοντο x² | 8 ⟨ς⟩ add. Seil. | 9 ὡς] ὥσπερ Δ | 10 [καὶ ὁ Πρίαπος] del. Mein. | 11 ἥδιον] ἤδη Herch. (ed.) | δ’ ἦν Mein. (ed.), δὴ x², δὴ πάλιν ⟨ἦν⟩ Seil. | 14 [οἱ] del. Seil. | ἄστεος] ἄστεως Herch. | 17 ὃ] ἃ Herw. | 18 ⟨π⟩ add. Herch. | 19 ⟨καὶ⟩ add. distinctis sq. Mein., ἑκάστη ..... ‘ταύτην ἕλκυσον μὰ Δία—ταύτην μὴ—ἐκείνην’ Seil. | 22 ⟨καὶ⟩ add. Herch. (ed.) | ἀλλὰ Mein. (ed.), ἀλλ’ αἱ Π, ἄλλαι cet.

ὑπόξανθος δέ τις τοῖς φύλλοις αὐτῶν ⟨ἐν⟩εκέχρωστο
18 *αὐγή· τὴν Ἀφροδίτην λέγουσι ταύτας φιλεῖν. ἐαρί-*
σασαι δ' οὖν καὶ ἀναξανθεῖσαι τοὺς στομάχους ἐκραι-
παλῶμεν μάλα νεανικῶς μέχρι ⟨τοῦ⟩ μηδὲ λανθάνειν
ἀλλήλας θέλειν, μηδὲ αἰδουμένως τῆς ἀφροδίτης παρα-
κλέπτειν· οὕτως ἡμᾶς ἐξεβάκχευσαν αἱ προπόσεις. μισῶ
τὸν ἐκ γειτόνων ἀλεκτρυόνα· κοκκύσας ἀφείλετο τὴν
19 *παροινίαν. ἔδει ἀπολαῦσαί σε τῆς γοῦν ἀκοῆς τοῦ*
συμποσίου — τρυφερὸν γὰρ ἦν καὶ πρέπον ἐρωτικῇ
ὁμιλίᾳ — εἰ καὶ μὴ τῆς παροινίας ἐδυνήθης· ἐβου-
λόμην οὖν ἀκριβῶς ἕκαστα ἐπιστεῖλαι καὶ προὐτράπην·
σὺ δὲ εἰ μὲν ὄντως ἔσχηκας μαλακῶς, ὅπως ἄμεινον
ἕξεις σκόπει· εἰ δὲ τὸν ἐραστὴν προσδοκῶσα ἥξειν
ἔνδον οἰκουρεῖς, οὐκ εὐλόγως οἰκουρεῖς. ἔρρωσο.

14 [I 39].

Μεγάρα Βακχίδι.

Σοὶ μόνῃ ἐραστὴς γέγονεν, ὃν φιλεῖς οὕτως ὥστε μηδ' ἀκαρῆ πως αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀηδίας, δέσποινα Ἀφροδίτη. κληθεῖσα ὑπὸ Γλυκέρας ἐπὶ θυ-

x² *(Vat. 2 Flor. Π Δ)*

1 ⟨*ἐν*⟩ add. Herch. (ed.), *ἐγκέχρωστο* Mein. | 2 *ἐαρίσασαι*] *ἐρανίσασαι* Mein., *ἐρείσασαι* Haupt., *ῥαίσασαι* Herw. | 4 *μάλα* Seil. (ed.), *ἀλλὰ* x² | ⟨*τοῦ*⟩ add. Seil. | 5 *τῆς ἀφροδίτης*] *τὴν ἀφροδίτην* Seil. | *παρακλέπτειν*] *περικλέπτειν* *Vat. 2* | 7 *ἐκ* *Δ*, *ἐκ τῶν* cet. Cf. IV 17, 4 | 10 *ὁμιλίᾳ* Mein. (ed.), *φιλίᾳ* x² | 11 *οὖν*] *μὲν οὖν* *Π Δ* | post *προὐτράπην* supplet *ἐπὶ τοῦτο προθυμότατα* Mein. | 12 *ὄντως* Mein., *οὕτως* x² | 14 *ἔνδον*] del. Herch. (ed.) | *εὐλόγως* Mein., *ἀλόγως* x²

16 *ὥστε* mrg. *Π*, *ὡς τὸ* cet. (*ὥστε τὸ* *Δ*), *ὥστε τοι* Herel. | 17 *μηδ'*] *οὐδ'* Herel. | *ἀκαρῆ πως* Arnald., *ἀκριβῶς* x², *ἄχρι βωμῶν* vel *γρὺ ὅσον* Bergl., *ἀκαριαίως* Hemst., defend. *ἀκριβῶς* *Beaud.* | *18 ἐπὶ θυσίαν*] om. *Π Δ*

*σίαν ἐκ τοσούτου χρόνου — ἀπὸ τῶν Διονυσίων
γὰρ ἡμῖν ἐπήγγειλεν — οὐχ ἥκεις, οἶμαι, δι' ἐκεῖνον,
οὐδὲ τὰς φίλας ἰδεῖν γυναῖκας ἀνασχομένη. σώφρων* 2
*γέγονας σὺ καὶ φιλεῖς τὸν ἐραστήν, μακαρία τῆς εὐφη-
μίας· ἡμεῖς δὲ πόρναι καὶ ἀκόλαστοι. ὑπῆρξε καὶ Φίλωνι
συκίνη βακτηρία· ὀργίζομαι γὰρ νὴ τὴν μεγάλην θεόν.
πᾶσαι παρῆμεν, Θεττάλη, Μοσχάριον, Θαΐς, Ἀνθράκιον,
Πετάλη, Θρυαλλίς, Μυρρίνη, Χρυσίον, Εὐξίππη· ὅπου
καὶ Φιλουμένη, καίτοι γεγαμημένη προσφάτως καὶ
ζηλοτυπουμένη, τὸ[ν] καλὸν κατακοιμίσασα τὸν ἄνδρα
ὀψὲ μὲν ὅμως δὲ παρῆν. σὺ δ' ἡμῖν μόνη τὸν Ἄδωνιν* 3
*περιέψυχες, μή που καταλειφθέντα αὐτὸν ὑπὸ σοῦ τῆς
Ἀφροδίτης ἡ Περσεφόνη παραλάβῃ. οἷον ἡμῶν ἐγέ-
νετο τὸ συμπόσιον — τί γὰρ οὐχ ἅψομαί σου τῆς
καρδίας; — ὅσων χαρίτων πλῆρες. ᾠδαὶ σκώμματα
πότος εἰς ἀλεκτρυόνων ᾠδὰς μύρα στέφανοι τραγήματα.
ὑπόσκιός τισι δάφναις ἦν ἡ κατάκλισις· ἓν μόνον ἡμῖν
ἔλιπε, σύ, τὰ δ' ἄλλα οὔ. πολλάκις ἐκραιπαλήσαμεν,* 4
*οὕτω δὲ ἡδέως ὀλιγάκις. τὸ δ' οὖν πλείστην ἡμῖν
παρασκευάσαν τέρψιν, δεινή τις φιλονεικία κατέσχε
Θρυαλλίδα καὶ Μυρρίνην ὑπὲρ τῆς πυγῆς ποτέρα*

x^2 *(Vat. 2 Flor. Π Δ)*

1 *ἐκ τοσούτου χρόνου* Cob., *εἰς τοσοῦτον χρόνον* x^2, del. *εἰς* Bergl. | *τῶν*] *τὴν* *Flor.* | 2 *οἶμαι δι' ἐκεῖνον* Bergl., *εἰ μὴ δι' ἐκείνην* x^2, *οὐ μὴν δι' ἐκείνην* ⟨*μόνον, ἀλλ'*⟩ Mein., *ἤδη δι' ἐκεῖνον* Herm., *ἡμῖν, οὐδ' ἐκείνην* Beaud. | 7 *παρῆμεν* Bergl., *γὰρ ἦμεν* x^2 | 8 *Εὐξίππη*] *Ζευξίππη* Herch. (ed.), sed vid. IV 6 | *ὅπου*] *ὀψὲ* Jacobs., *ἐπεὶ* Pol. An delendum? | 10 [*ν*] del. Hemst. | *κατακοιμίσασα* Cob., *ἀποκοιμίσασα* x^2 | 11 *ἡμῖν*] *ἡμῶν* Herel. | 13 *ἡμῶν*] *ἡμῖν* Wagn. | 17 *ὑπόσκιός τισι* vir quidam doct., *ὑποσκίοις τισὶ* x^2, *ὑπὸ συσκίοις τισὶ* Bergl., *ὑπόσκιός τις* Herch. (ed.) | 18 *ἔλιπε*] *ἔλειπε* Ald., *ἐνέλειπε* Herch. (ed.) | 18—19 *τὰ — ὀλιγάκις.*] *τὰ δ' ἄλλα οὐ πολλάκις — ἡδέως* [*ὀλιγάκις*]. Nab. | 19 *δ' οὖν* Seil. (ed.), *γοῦν* x^2

*κρείττω καὶ ἁπαλωτέραν ἐπιδείξει. καὶ πρώτη Μυρ-
ρίνη τὸ ζώνιον λύσασα — βόμβυξ δ' ἦν τὸ χιτώνιον
— δι' αὐτοῦ τρέμουσαν οἷόν τι μελίπηκτον γάλα τὴν
ὀσφῦν. ἀνεσάλευσεν, ἀποβλέπουσα εἰς τοὐπίσω πρὸς τὰ
κινήματα τῆς πυγῆς· ἠρέμα δ' οἷον ἐνεργοῦσά τι ἐρω-
τικὸν ὑπεστέναξεν, ὥστε με νὴ τὴν Ἀφροδίτην κατα-*
5 *πλαγῆναι. οὐ μὴν ἀπεῖπέ γε ἡ Θρυαλλίς, ἀλλὰ τῇ
ἀκολασίᾳ παρευδοκίμησεν αὐτήν· 'οὐ γὰρ διὰ παρα-
πετασμάτων ἐγώ' φησίν 'ἀγωνιοῦμαι, οὐδὲ ἀκκιζομένη,
ἀλλ' οἷον ἐν γυμνικῷ· καὶ γὰρ οὐ φιλεῖ προφάσεις
ἀγών'. ἀπεδύσατο τὸ χιτώνιον καὶ μικρὸν ὑποσιμώ-
σασα τὴν ὀσφῦν 'ἰδού, σκόπει τὸ χρῶμα' φησίν 'ὡς
ἄκρηβες, Μυρρίνη, ὡς ἀκήρατον, ὡς καθαρόν, τὰ
παραπόρφυρα τῶν ἰσχίων ταυτί, [τὴν ἐπὶ τοὺς μηροὺς
ἔγκλισιν,] τὸ μήτε ὑπέρογκον αὐτῶν μήτε ἄσαρκον,*
6 *τοὺς γελασίνους ἐπ' ἄκρων. ἀλλ' οὐ τρέμει νὴ Δία'
⟨φησὶν⟩ ἅμ' ὑπομειδιῶσα 'ὥσπερ ἡ Μυρρίνης'. καὶ*

x^2 *(Vat. 2 Flor. Π Δ)*

3 *τι μελίπηκτον*] *τι νεόπηκτον* Bergl., *πιμελὴν ἢ πηκτὸν* Arnald., sed IV 13, 10 cfrt Beaud. | 4 *ἀποβλέπουσα* Hirsch., *ὑποβλέπουσα* x^2 | 5 *τι*] del. Herch. (ed.) | 6 *ὥστε με* Herch. (ed.), *ὥστ' ἐμὲ* x^2 | 8 *παρευδοκίμησεν*] *παρηυδοκίμησεν* Herch. (ed.) | 9 *ἀγωνιοῦμαι* Mein. (ed.), *ἀγωνίσομαι* x^2 | 11 *ἀγών* Seil., *ἀγὼν* x^2 | *ἀπεδύσατο*] *ἀποδῦσα δὴ* Cob., *καὶ ἀποδῦσα* Herch. (ed.) | *ὑποσιμώσασα*] *ἀποσιμώσασα* Schneider | 13 *ἄκρηβες* Nauck., *ἀκριβῶς* x^2, *ἀκριβές* Ald., *ἀκραιφνές* Herch. (ed.) | 14 *παραπόρφυρα*] *παραπορφυρᾶ* *Flor.*, om. *παρα* Ald., *παρὰ πορφύραν πορφυρᾶ* cl. Anth. Pal. V 54 Mein. | *ἰσχίων*] *ἰσχύων* *Δ* | 14—15 [*τὴν — ἔγκλισιν* (ita Hemst., *ἔγκρισιν* x^2)] del. Mein. | 15 *αὐτῶν*] *αὐτῆς* Herch. | 17 ⟨*φησὶν*⟩ addidit distinctis sqq. Mein. (ed.), *ὥσπερ ἡ Μυρρίνης, ἀλλ' ὑπομειδιᾷ'* Bergl., volebat jam ⟨*ἔφη*⟩ Seil. (ed.). (In *Π* litt. ς vocis *Μυρρίνης* *expuncta est, unde ἀλλ' ὑπομειδιῶσα* ⟨καὶ ἐπιστρεφομένη⟩ *ὥσπερ ἡ Μυρρίνη* Reisk., *καὶ* ἅμα ὑπομειδιῶσα ὥσπερ ἡ Μυρρίνη, *τοσοῦτον* Jacobs.)

τοσοῦτον παλμὸν ἐξειργάσατο τῆς πυγῆς, καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφῦν τῇδε καὶ τῇδε ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε ἀνακροτῆσαι πάσας καὶ νικᾶν ἀποφήνασθαι τὴν Θρυαλλίδα. ἐγένοντο δὲ καὶ περιάλλων συγκρίσεις καὶ περὶ μασταρίων ἀγῶνες . . . . τῇ μὲν γὰρ Φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδ' ἡτισοῦν ἐθάρσησεν· ἄτοκος γὰρ ἦν καὶ σφριγῶσα. καταπαννυ- 7
χίσασαι δ' οὖν καὶ τοὺς ἐραστὰς κακῶς εἰποῦσαι καὶ ἄλλων ἐπιτυχεῖν εὐξάμεναι — ἀεὶ γὰρ ἡδίων ἡ πρόσφατος ἀφροδίτη — ᾠχόμεθα ἔξοινοι, καὶ πολλὰ κατὰ τὴν ὁδὸν κραιπαλήσασαι ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν χρυσοῦν στενωπόν, ὡς ἐπὶ τὴν Ἄγνον κατῆμεν, πλησίον τῆς Μενέφρονος οἰκίας. ἐρᾷ γὰρ αὐτοῦ Θαῒς κακῶς, καὶ νὴ Δία εἰκότως· ἔναγχος γὰρ πλούσιον κεκληρονόμηκε πατέρα τὸ μειράκιον. νῦν μὲν οὖν 8
συγγνώμην ἔχομέν σοι τῆς ὑπεροψίας, τοῖς Ἀδωνίοις δὲ ἐν Κολλυτῷ ἑστιώμεθα παρὰ τῷ Θεττάλης ἐραστῇ· τὸν γὰρ τῆς Ἀφροδίτης ἐρώμενον ἡ Θεττάλη ⟨περι⟩στέλλει. ὅπως δ' ἥξεις φέρουσα κηπίον καὶ κοράλλιον καὶ τὸν σὸν Ἄδωνιν ὃν νῦν περιψύχεις· μετὰ γὰρ τῶν ἐραστῶν κραιπαλήσομεν. ἔρρωσο.

x^2 *(Vat. 2 Flor. ΠΔ)*

2 *ὥσπερ ῥέουσαν*] *ἀσπαίρουσαν* Lennep. | 3 *ἀνακροτῆσαι*] *ἀνασκιρτῆσαι* Vind. | 3—4 *νικᾶν — τὴν Θρυαλλίδα* Cob., *νίκην — τῆς Θρυαλλίδος* x^2 | 4 *περιάλλων* Mein., *περὶ ἄλλων* x^2, del. *περὶ* Cob. | 5 lac. sign. posuit Mein. supplens ⟨*οὐ μὴν περὶ γαστέρων ἠμφισβητοῦμεν·*⟩ | *τῇ* Vind., *τῆς* x^2 | 6 *ἐθάρσησεν*] *ἐθάρρησεν* Herch. | 8 *δ' οὖν* Seil. (ed.), *γοῦν* x^2, *οὖν* Herch. (ed.) | 12 *κατῆμεν* Seil. (ed.), *κάτιμεν* (sic) x^2, *κατιόντι* Ald. | 13 *πλησίον*] ⟨*τὴν*⟩ *πλησίον* Herw. | *ἐρᾷ* Ald., *ἐρᾶν* x^2 | 14 *κακῶς*] *διακαῶς* Mein. | 16 *Ἀδωνίοις* Pierson., *Ἀλώοις* x^2 | 17 *ἑστιώμεθα*] *ἑστιασόμεθα* Cob., at cf. v. c. Π 37, 2 | 18 ⟨περι⟩ add. Hirsch. (qui περιστελεῖ) | 19 κηπίον Bast., κητίον x^2, *γήτειον* Vind., *νηττίον* Reisk. | κοράλλιον] κουράλιον [καὶ] Wagn., *κοράλιον* Seil. (ed.) | 20 σὸν] del. Vind.

15 [I 40].

Φιλουμένη Κρίτωνι.

Τί πολλὰ γράφων ἀνιᾷς σαυτόν; πεντήκοντά μοι χρυσῶν δεῖ καὶ γραμμάτων οὐ δεῖ. εἰ μὲν οὖν φιλεῖς, δός· εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει. ἔρρωσο.

16 [II 1].

Λάμια Δημητρίῳ.

Σὺ ταύτης τῆς παρρησίας αἴτιος, ⟨ὃς⟩ τοσοῦτος ὢν βασιλεὺς εἶτα ἐπέτρεψας καὶ ἑταίρᾳ γράφειν σοι, [καὶ] οὐχ ἡγησάμενος δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλη μοι ἐντυγχάνων. ἐγώ, δέσποτα Δημήτριε, ὅταν μὲν ἔξω σε θεάσωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν στρατοπέδων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν Ἀφροδίτην, πέφρικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὡς τὸν ἥλιον, μὴ ἐπικαῶ τὰ ὄμματα· καὶ τότε μοι ὄντως ὁ πολιορκητὴς εἶναι
2 *δοκεῖς Δημήτριος· οἷον δὲ καὶ βλέπεις τότε, ὡς πικρὸν καὶ πολεμικόν· καὶ ἀπιστῶ ἐμαυτῇ καὶ λέγω ʻΛάμια, σὺ μετὰ τούτου καθεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν οὗτος ἐπέσταλκε; σοὶ Γνάθαιναν τὴν ἑταίραν συγκρίνει'; καὶ ἠλογημένη σιωπῶ καὶ εὔ-*

x^2 *(Vat. 2 Flor. Π Δ)*

1 Fort. ante hoc responsum excidit ep. quaedam *Κρίτων Φιλουμένη* | 2 *μοι* Arnald., *σοι* x^2 | 3 *καὶ*] del. Hirsch.
6 *τῆς*] om. *Π Δ* | 6—7 ⟨ὃς⟩ et *ἐπέτρεψας* Mein. (ed.), *ἐπιτρέψας* x^2 | *τοσοῦτος*] om. *Π Δ* | 7 [*καὶ*] del. Mein. (ed.) | 9 *Δημήτριε*] *Δάματερ Π Δ* | 10 *καὶ ἀκούσω*] del. Herch. (ed.) | 12 post *πέφρικα* add. *καὶ δέδοικα Δ* | 15 *Δημήτριος Π Δ*, *Δάματερ* cet., del. Pol. | *πικρὸν*] μικρὸν Π Δ, φρικτὸν Bergl. | *16 Λάμια*] *ὦ Λάμια* Jacobs. | 17 τούτου] τοῦδε Π | 19 ἠλογημένη] *διηπορημένη* Cob. | εὔχομαι Mein. (ed.), εὐχομένη x^2

χομαί σε θεάσασθαι παρ' ἑαυτῇ. καὶ ὅταν ἔλθῃς, 3 προσκυνῶ σε· καὶ ὅταν περιπλακείς με καταφιλῇς, πάλιν πρὸς ἐμαυτὴν τἀναντία λέγω 'οὗτός ἐστιν ὁ πολιορκητής; οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις; τοῦτον φοβεῖται ⟨ἡ⟩ Μακεδονία, τοῦτον ἡ Ἑλλάς, τοῦτον ἡ Θρᾴκη; νὴ τὴν Ἀφροδίτην, σήμερον αὐτὸν τοῖς αὐλοῖς ἐκπολιορκήσω καὶ ὄψομαι τί με διαθήσει'. ...... μᾶλλον εἰς τρίτην, παρ' ἐμοὶ γὰρ δειπνήσεις, δέομαι. τὰ Ἀφροδίσια ποιῶ ταῦτα ⟨τὰ⟩ κατ' ἔτος, καὶ ἀγῶνα ἔχω ἀεὶ τὰ πρότερα τοῖς ὑστέροις νικᾶν. ὑποδέξομαι 4 δή σε ἐπαφροδίτως καὶ ὡς ἔνι μάλιστα ἐπιφανῶς, ἄν μοι περιουσιάσαι γένηται ὑπὸ σοῦ, μηδὲν ἀνάξιον τῶν σῶν ἀγαθῶν ἐξ ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιηκυίᾳ, καίτοι σοῦ γε ἐπιτρέποντος ὅπως ἂν βούλωμαι χρῆσθαι τῷ ἐμῷ σώματι· ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως πρὸς ἑτέρους. οὐ ποιήσω τὸ ἑταιρικὸν οὐδὲ 5 ψεύσομαι, δέσποτα, ὡς ἄλλαι ποιοῦσιν. ἐμοὶ γὰρ ἐξ

x^2 *(Vat. 2 Flor. Π Δ)*

1 ἑαυτῇ] ἐμαυτῇ Herch. | 2 προσκυνῶ σε Ald., προσκυνοῦσα x^2 | με καταφιλῇς Hirsch., μέγα φιλῇς x^2, ⟨ἐμὲ⟩ μέγα φιλῇς Gloss. Eichst., με φιλῇς Mein. (ed.) | 5 ⟨ἡ⟩ add. Mein. (ed.) | 6 αὐτὸν] αὐτοῖς Π Δ | 7 τί με διαθήσει (διαθήσειν Π Δ)] εἰ μειδιάσει Herm., πῶς με διαθήσει Herw. | 8 Ante μᾶλλον (ita x^2, μεῖνον Ald.) lac. sign. posuit Mein. opinatus aliquid de instante Demetrii profectione excidisse, Lamiamque deinde scripsisse μὴ σύ γε, ἀλλὰ μεῖνον εἰς τὴν ἐπιοῦσαν ἢ μᾶλλον Proponit ἢ μᾶλλον μεῖνον Pol. | 9 ταῦτα ⟨τὰ⟩ Mein., τὰ Herch. (ed.) | 10 ἀεὶ—νικᾶν Cob., εἰ—νικᾷ x^2, εἰ—νικᾶται Bergl., εἰ—νικῶ Reisk., [εἰ]—νικᾶν Hemst. | 11 ἐπαφροδίτως] ἐπαφρίτως *Vat. 2,* ἐπαφρ ... τως Π | ἐπιφανῶς Reisk., πιθανῶς x^2, quod defend. Herm. mutato sq. περιουσιάσαι in παρρησιάσαι | 11—12 ἄν—γένηται] ἁρμοῖ ⟨γὰρ⟩ ἐν περιουσίαις γεγένημαι Reisk., καὶ γάρ μοι—γεγένηται Seil., idem sed περιουσία Herch. (ed.) requirens παρὰ pro ὑπὸ \ 13 ἀγαθῶν] ἀγκαλῶν Fried. | πεποιηκυίᾳ Bergl., πεποιηκυῖα x^2 \ γε Bergl., τε x^2

ἐκείνου, μὰ τὴν Ἄρτεμιν, οὐδὲ προσέπεμψαν ἔτι πολλοὶ
[οὐδὲ ἐπείρασαν] αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς
ἐστιν Ἔρως, ὦ βασιλεῦ, καὶ ἐλθεῖν καὶ ἀναπτῆναι.
ἐλπίσας πτεροῦται, καὶ ἀπελπίσας ταχὺ πτερορρυεῖν
6 εἴωθεν ἀπογνωσθείς. διὸ καὶ μέγα τῶν ἑταιρουσῶν
ἐστι σόφισμα, ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτι-
θεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς. [πρὸς
ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεστιν, ὥστε φόβον εἶναι
κόρου.] λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν ποιεῖν, τὰ δὲ μαλα-
κίζεσθαι, τὰ δὲ ᾄδειν, τὰ δὲ αὐλεῖν, τὰ δὲ ὀρχεῖσθαι,
τὰ δὲ δειπνοποιεῖν, τὰ δὲ κοσμεῖν [σοι] τὸν οἶκον,
τὰς [δὲ] ὁπωσοῦν ἄλλως ταχὺ μαραινομένας μεσολα-
βούσας χάριτας, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστή-
μασιν εὐαλέστεραι αὐτῶν αἱ ψυχαί, φοβουμένων μὴ
ἄλλο πάλιν γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα.
7 ταῦτα δὲ πρὸς μὲν ἑτέρους τάχα ἂν ἐδυνάμην, βασιλεῦ,

x² *(Vat. 2 Flor. ΠΔ)*

1 προσέπεμψαν] προσέβλεψαν mrg. Π et Δ | 2 [οὐδὲ ἐπείρασαν] del. Cob., οὐδεὶς οὐδὲν προσέπεμψεν [ἔτι πολλοὶ] οὐδ' ἐπείρασεν Hirsch., οὔτε—οὔτε Herch. | 3 ἀναπτῆναι] ἀποπτῆναι Herch. (ed.), at cf. sqq. et Aristaen. II 1 | 4 καὶ] del. Herch. (ed.) | 4 ἀπελπίσας] del. Maehl. | 5 ἀπογνωσθείς] del. Cob. | 7 διακρατεῖν] διάγειν Cob. | 7—9 [πρὸς—κόρου] del. Jacobs. (Pro ὥστε—κόρου voluit ὡς πεφοβημέναι κόρον Bergl., φοβουμέναις κόρον Reisk.) | 9 λοιπὸν] λοιπὸν ⟨οὖν⟩ Herch. (ed.) | ποιεῖν] πονεῖν Arnald., ἱερὰ ποιεῖν Reisk., τι ποιεῖν Mein., σκώπτειν Herch. (ed.) posito τὰ δὲ μαλακίζεσθαι post ὀρχεῖσθαι | 10 τὰ δὲ ᾄδειν—ὀρχεῖσθαι] om. Δ, del. Jacobs., haec et sqq. usque ad οἶκον del. Mein. | 11 [σοι] del. Bergl., conjecit κοσμῆσαι Jacobs. | τὸν οἶκον] addubitat Pol. | 12 [δὲ] del. Bergl. | 13 χάριτας Ruhnk., χρήσεις x², χρείας vel προφάσεις vel ἐγχειρήσεις Reisk. | τοῖς διαστήμασιν] τοῖς διαστήμασιν
τοῦ διαστήματος Δ | 14 εὐαλέστεραι Mein. (ed.), εὐαλούστεραι x², εὐαλωτότεραι vel νεαλέστεραι Lobeck., ἁπλούστεραι Herch. *(ed.)* | *16* ἑτέρους] ἑταίρους Δ

*πλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σέ, ὃς οὕτως ἤδη
αὐχεῖς ἐπ' ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι
πρὸς τὰς ἄλλας ἑταίρας ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ
τὰς φίλας Μούσας, οὐκ ἂν ὑπομείναιμι [πλάττεσθαι]·
οὐχ οὕτως εἰμὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα καὶ τὴν
ψυχὴν ἐμαυτῆς εἰς τὴν σὴν ἀρέσκειαν ὀλίγον ἡγήσομαι
⟨δε⟩δαπανῆσ⟨θ⟩αι. ⟨ἀλλ'⟩ εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ* 8
*Θηριππίδου οἰκίᾳ, ἐν ᾗ μέλλω σοι τὸ τῶν Ἀφροδισίων
εὐτρεπίζειν δεῖπνον, ἔσται διαβόητος ἡ παρασκευή,
ἀλλὰ καὶ ἐν ὅλῃ τῇ Ἀθηναίων πόλει, νὴ τὴν Ἄρτεμιν,
καὶ ἐν τῇ Ἑλλάδι πάσῃ. καὶ μάλιστα οἱ μισητοὶ Λακε-
δαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι οἱ ἐν Ἐφέσῳ
ἀλώπεκες, οὐ παύσονται τοῖς Ταϋγέτοις ὄρεσι καὶ ταῖς
ἐρημίαις ἑαυτῶν διαβάλλοντες ἡμῶν τὰ δεῖπνα καὶ
καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ'* 9
*οὗτοι μὲν χαιρόντων, δέσποτα, σὺ δέ μοι μέμνησο φυ-
λάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν ἂν
ἕλῃ· ἀρίστη γὰρ ἣν ⟨σὺ⟩ βούλει. ἔρρωσο.*

x^2 *(Vat. 2 Flor. Π Δ)*

1 *πλάττεσθαι* Bergl., *φυλάττεσθαι* x^2, *φυλάττειν* Jacobs., del. Keil. | 2 *αὐχεῖς* Maehl., *ἔχεις* *O*, *οὕτως ἀφειδῆ ἐκχεῖς ἐπ' ἐμὲ ⟨τὸν σὸν πλοῦτον⟩* Reisk. | *ὡς*] *ὥστ'* Cob. | 4 [*πλάττεσθαι*] del. Hirsch. | 5 *λιθίνη*] *ἠλιθία* Nab. | *ἀφεῖσα*] *ἀφ . . . σα* *Flor.*, *ἀφεῖσα ⟨σοι⟩* Reisk. | 6 *τὴν σὴν*] om. *Π Δ* | 7 *⟨δε⟩* et *⟨θ⟩* add. Mein., *δαπανήσασα βλάπτεσθαι* Reisk. | *⟨ἀλλ'⟩* add. Pol. | 8 *Θηριππίδου* Bergl., *Θηριππιδίου* x^2 | 9 *ἔσται* *Π Δ*, *ἔστε* cet. | 10 *Ἀθηναίων*] del. Cob. | 11 *πάσῃ*] om. *Π Δ* | *οἱ*] *οἱ ⟨θεοῖς⟩* Reisk. | 13 *τοῖς*] *ἐν τοῖς* Seil. | *ὄρεσι*] del. Reisk. | 16 *οὗτοι* Cob., *αὐτοὶ* x^2 | *μοι* Herch. (ed.), *ἐμοὶ* x^2 | 17 *τοῦ*] *αὐτοῦ* *Π Δ* | 18 *⟨σὺ⟩* add. Cob.

17 [II 2].

Λεόντιον Λαμίᾳ.

*Οὐδὲν δυσαρεστότερον, ὡς ἔοικεν, ἐστὶν ἄρτι πάλιν
μειρακευομένου πρεσβύτου. οἷά με Ἐπίκουρος οὗτος
διοικεῖ πάντα λοιδορῶν, πάντα ὑποπτεύων, ἐπιστολὰς
2 ἀδιαλύτους μοι γράφων, ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ
τὴν Ἀφροδίτην, εἰ Ἄδωνις ἦν, ἤδη ἐγγὺς ὀγδοήκοντα
γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος
καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πόκοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλόσοφον τοῦτον; ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας
δόξας καὶ τοὺς διεστραμμένους κανόνας, ἐμὲ δὲ ἀφέτω
τὴν φυσικῶς κυρίαν ἐμαυτῆς ἀστομάχητον καὶ ἀνύβριστον.
3 ὄντως ἐγὼ πολιορκητὴν ἔχω τ[οι]οῦτον, οὐχ
οἷον σὺ Λάμια Δημήτριον. μὴ γὰρ ἔστι σωφρονῆσαι
διὰ τὸν ἄνθρωπον τοῦτον; καὶ σωκρατίζειν καὶ στωμύλλεσθαι θέλει καὶ εἰρωνεύεσθαι, καὶ Ἀλκιβιάδην*

x^2 *(Vat. 2 Flor. Π Δ)*

2 *ἄρτι*] del. Ald., *ἄρα* Cob. | *πάλιν*] del. Pol. | 4 *διοικεῖ*] *διώκει* Maehl., *διοχλεῖ* vel *διέθηκε* Cob., *ἀδικεῖ* Herch. (ed.) | 5 *ἀδιαλύτους*] *ἀδιαλείπτους* Arnald., *διωλυγίους* Cob., *ἀδιανύτους* Herm., *ἀδιαπαύστους* Herw. | 6 *ἤδη*] *μήδ'* Nab. | 7 *γεγονὼς*] om. *Vat. 2 Π* | 9 *ὑπομενεῖ*] *ὑπομένει* Herch. (ed.) | 11 *ἀφέτω*] *ἐφέτω Π Δ* | 12 *ἀστομάχητον*] *ἀνενόχλητον* Lennep., *ἀστόβαστον* Hemst., *αὐτομάχητον* Mein. (ed.), *ἀστονάχητον* Maehl., *ἐραστομάχητον* Nab., *ἀπροσμάχητον* Herw. | *φυσικῶς*] *μουσικῶς Π* | 13 *ἐγὼ πολιορκητὴν* Herch. (ed.), *ἐπιπολιορκητὴν* x^2, *Επίκουρον πολιορκητὴν* Lennep., [*ἐπι*]*πολιορκητὴν* vel *τι πολιορκητὴν* Reisk., *ἐπιπόλιον πολιορκητὴν* Seil., *εἰπεῖν πολιορκητὴν* Metr., *ὄντως* .... *ἐπεὶ πολιορκητὴν* Mein. | [*οι*] del. *Maehl.*, *οὐ τοιοῦτον οἷον* Gloss. Eichst. | 14 *ἔστι*] *ἔσται* *Pol.* | *σωφρονῆσαι*] *σωφρονίσαι* Π Δ \ 15 στωμύλλεσθαι Cob., *στωμυλεύεσθαι* x^2

τινὰ τὸν Πυθοκλέα νομίζει καὶ Ξανθίππην ἐμὲ οἴεται ποιήσειν. [καὶ] πέρας ἀναστᾶσα ὁποίποτε γῆν πρὸ γῆς φεύξομαι μᾶλλον ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς ἀδιαπαύστους ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ 4
ἀφορητότατον τετόλμηκεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν τί μοι ποιητέον ἐπέσταλκά σοι· Τίμαρχον τὸν καλὸν οἶσθα τὸν Κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν ἐκ πολλοῦ — πρὸς σέ μοι τἀληθῆ Λάμια — καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ σχεδόν· οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου 5
πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν, ἐσθῆτα⟨ς⟩, χρυσία, θεραπαίνας θεράποντας, Ἰνδὰς Ἰνδούς. τἆλλα σιωπῶ. ἀλλὰ τὰ μικρότατα προλαμβάνει τῆς ὥρας, ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον οὖν ἐραστὴν 'ἀπόκλεισον' φησὶ 'καὶ μὴ προσίτω σοι', ποίοις

x^2 *(Vat. 2 Flor. Π Δ)*

1 *τὸν* Cob., *ἢ* x^2, del. Medenb.-Wack., [*τινα*] *τὸν* deleto *νομίζει* Hirsch | 2 [*καὶ*] expunxi, nonnulla hic excidisse censet Mein. | *ἀναστᾶσα*] *ἀναπτᾶσα* Nab. | *ὁποίποτε*] *ὅπῃ ποτὲ* *Flor.* | 3 *ἀδιαπαύστους*] *διαπαύστους* *Δ* | 4—6 *ὃ — σοι·* Pol., *ὃ — σοι.* vulg., *ὁ — σοι.* Mein. (ed.) | 5 *τετόλμηκεν* *Flor.*, *τετόλμηκας* *Vat. 2*, *τετόλμησεν* *Π*, *ἐτόλμησεν* *Δ* | *γνώμην*] *γνώμην σου* Mein. (ed.), *τὴν σὴν γνώμην* Herch. (ed.) | 6 *λαβεῖν*] *μαθεῖν* Hirsch. | 7 *Κηφισιᾶθεν* Seil., *Κηφισιάθεν* x^2 | 8 *οἰκείως*] *οὐκ οἰκείως* *Π Δ*, *οὐκ ἀνοικείως* Mein. | 9 post *τἀληθῆ* (*τάλη* *Flor.*) add. *λέγειν εἰκὸς* Ald. | 9—10 *καὶ — σχεδόν*] aut delenda aut transponenda post *οἰκοῦσαν* censet Herch., *καὶ — ἐμνήθην — σχεδὸν* [*οὗτος — διεπαρθένευσεν*] *ἐκ — οἰκοῦσα* (vel *οἰκοῦντος*) Nauck., del. *σχεδόν* Pol., *ἤκουσαν* pro *οἰκοῦσαν* Metr. | 12 ⟨ς⟩ addidi | 13 *χρυσία* Mein. (ed.), *χρυσεῖα* x^2 | *Ἰνδὰς Ἰνδούς* Mein. (ed.), ord. inv. x^2 | 14 *τῆς* Maehl. (qui *σιωπῶ τὰ μικρότατα ἅ*), *τὰς* x^2, *σιωπῶ τἆλλα τὰ μικρότερα. προλαμβάνει τὰς ὥρας* Nauck., *σιωπῶ. ἅμα δὲ τὰ μικρότατα* Herw., mavult *τὰ ἀκρότατα* Pol. | 15 *με*] *με* ⟨*τῆς ὀπώρας*⟩ Reisk. | *οὖν*] *νῦν* *Π Δ*

δοκεῖς αὐτὸν ἀποκαλῶν ὀνόμασιν; οὔτε ὡς Ἀττικὸς οὔτε
ὡς φιλόσοφος, ... ἢ Καππαδοκίας πρῶτος εἰς τὴν
6 Ἑλλάδα ἥκων. ἐγὼ μὲν εἰ καὶ ὅλη γέμοι ἡ Ἀθηναίων
πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ ζυγοστατήσω
πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα, μᾶλλον
δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σὺ λέγεις Δάμια; οὐκ
ἀληθῆ ταῦτα; οὐ δίκαιά φημι; καὶ μὴ δή, δέομαί σου
πρὸς τῆς Ἀφροδίτης, μή σοι ταῦτα ἐπελθέτω· 'ἀλλὰ
φιλόσοφος, ἀλλὰ ἐπιφανής, ἀλλὰ πολλοῖς φίλοις κεχρη-
μένος'. λαβέτω καὶ ἀγὼ ἔχω, διδασκέτω δ' ἄλλους.
ἐμὲ γὰρ οὐδὲν θάλπει ἡ δόξα, ἀλλ' ὃν θέλω δὸς Τί-
7 μαρχον, Δάματερ. ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται
ὁ νεανίσκος καταλιπών, τὸ Λύκειον καὶ τὴν ἑαυτοῦ
νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ'
αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς
ὑπηνέμους αὐτοῦ δόξας. ὁ ⟨δ'⟩ Ἀτρεὺς οὗτος 'ἔξελθε'
φησίν 'ἐκ τῆς ἐμῆς μοναγρίας καὶ μὴ πρόσιθι Λεοντίῳ'.
ὡς οὐ δικαιότερον ἐκείνου ἐροῦντος 'σὺ μὲν οὖν μὴ
8 πρόσιθι τῇ ἐμῇ'. καὶ ὁ μὲν νεανίσκος ὢν ἀνέχεται

x² (*Vat. 2 Flor. ΠΔ*)

2 lac. sign. posui. Pro ἢ conj. ἐκ Ald., ⟨ἀλλ' ὡς φορτηγὸς (vel ὀνηλάτης)⟩ ἐκ Reisk., ἐκ Καππαδοκίας ⟨δὲ⟩ Hemst., ⟨ἀλλ' οἷον ἐκ Φρυγίας⟩ ἢ Pol. | πρῶτος] πρῴην Reisk., πρῶτον Hemst., προσφάτως Stang. | εἰς] om. *Flor. ΠΔ* | 3 μὲν] δὲ Ald. | γέμοι Mein. (ed.), γένοιτο x² | 5 αὐτοὺς *ΠΔ*, αὐτοῖς cet. | 6 σὺ] σοὶ *ΠΔ* | 7—9 καὶ—'ἀλλὰ—κεχρημένος' Pol., 'καὶ μήν', φής, 'δέδοικά σου—κεχρημένος' Reisk., [καὶ] 'μὴ—ἐπελθέτω· ἀλλὰ—κεχρημένος' Mein. (ed.) | 8 ἐπελθέτω Cob., ὑπελθέτω x² | 10 καὶ ἀγὼ ἔχω Cob., καὶ ἃ ἔχω x², κατεχέτω Lennep., προσλαβέτω καὶ οἷς ἔχει Hirsch. | 11 γὰρ scripsi, δὲ x², γε Seil. | ἡ Reisk., τι x², del. Herch. (ed.) | ὃν *ΠΔ*, ὃ cet. | δὸς Ald., δὲ x². Possis etiam [ἀλλ'] ὃν θέλω δὲ | 14 νεότητα] σεμνότητα Metr. | 16 ⟨δ'⟩ add. Mein. (ed.) | Ἀτρεὺς] ἀγρεὺς Maehl. | 17 μοναγρίας] μοναρχίας Bergl. | καὶ] ἢ Mein.

τὸν ὕστερον ἀντεραστὴν γέροντα, ὁ δὲ τὸν δικαιότερον οὐχ ὑπομένει. τί ποιήσω, πρὸς τῶν θεῶν ἱκετεύω σε Λάμια. νὴ τὰ μυστήρια, νὴ τὴν τούτων τῶν κακῶν ἀπαλλαγήν, ὡς ἐνθυμηθεῖσα τοῦ Τιμάρχου τὸν χωρισμὸν ἄρτι ἀπέψυγμαι καὶ ἵδρωκα τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται. δέομαί σου, δέξαι με πρὸς σεαυτὴν 9
ἡμέρας ὀλίγας, καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπέλαυεν ἀγαθῶν ἔχων ἐν τῇ οἰκίᾳ ἐμέ. καὶ οὐκέτι φέρει τὸν κόρον, εὖ οἶδα· πρεσβευτὰς εὐθὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμα⟨ρ⟩χον καὶ Πολύαινον. ποσάκις οἴει με, Λάμια, πρὸς αὐτὸν 10
ἰδίᾳ παραγενομένην εἰπεῖν 'τί ποιεῖς Ἐπίκουρε; οὐκ οἶσθα ὡς διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου ⟨ἀδελφὸς⟩ ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς θεάτροις, παρὰ τοῖς ἄλλοις σοφισταῖς'; ἀλλὰ τί ἔστιν αὐτῷ ποιῆσαι; ἀναίσχυντός ἐστι τῷ ἐρᾶν. καὶ ἐγὼ ἔσομαι τοίνυν ὁμοία τις αὐτῷ [ἀναίσχυντος] καὶ οὐκ ἀφήσω τὸν ἐμὸν Τίμαρχον. ἔρρωσο.

x² *(Vat. 2 Flor. Π Δ)*

1 *ὕστερον*] *ἕτερον Π Δ*, *γεραίτερον* Herch. (ed.) | *γέροντα*] del. Herch. (ed.) | 3 *τὴν*] om. *Π* | 4 *ὡς ἐνθυμηθεῖσα*] *παρενθυμηθεῖσα* Reisk. | 5 *ἵδρωκα τὰ ἄκρα* Mein. (ed.), *ἱδρῶ καὶ τὰ ἄκρα* x², *ἵδρωκε τὰ ἄκρα* Reisk., *ἱδρῶ κατάκρας* Porson., *ἱδρῶ κατὰ τὰ ἄκρα* vel *ἱδρῶ [καὶ] τὰ ἄκρα* Lennep., *ἱδρῶ δειλάκρα* Hemst., *ἄρτι ἱδρῶ καὶ ἀπέψυγμαι τὰ ἄκ*[illegible] Majus, *ἰδίῳ τὰ ἄκρα* Cob., *ἱδρῶς καταρρεῖ* Herm. | 8 *ἀ*[illegible] Cob., *ἀπήλαυεν* x² | *ἐμέ* scripsi, *με* x² | *καί*] om. Ald. [illegible] *φέρων — οἶδα*, Hirsch. | *κόρον*] *χωρισμόν* Me[illegible] 10 ⟨ρ⟩ add. Klotz | 13 *ὡς*] *ὅτι Π Δ* | *δια*[illegible] *δώρου*] om. *Flor.* posito lac. sign. | 14 ⟨*ἀδε*[illegible] x² est lac. sign. | 15 *ἔστιν* Seil. (ed.), *ἐστιν* [illegible] *αὐτὸν* Mein. | *τῷ ἐρᾶν* Pol., *τὸ ἐρᾶν* x², *ὁ ἐ*[illegible] *γέρων* Mein. | 17 *ἔσομαι*] *γενήσομαι* Hirsch[illegible] *Mein.*, *inducto etiam* [*ἀναίσχυντος*], quo [illegible] *ὁμοίως*, *Seil.* *ὅμοια*.

18 [II 3].

Μένανδρος Γλυκέρᾳ.

Ἐγὼ μὰ τὰς Ἐλευσινίας θεάς, μὰ τὰ μυστήρια αὐ-
τῶν, ἅ σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις, Γλυ-
κέρα, μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τἀμὰ οὐδὲ βού-
2 λομαι σου χωρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω. τί
γὰρ ἐμοὶ χωρὶς σοῦ γένοιτ' ἂν ἥδιον; τί⟨νι⟩ δ' ἐπαρ-
θῆναι μεῖζον ⟨ἂν⟩ δυναίμην τῆς σῆς φιλίας; ἐπεὶ καὶ
τὸ ἔσχατον ἡμῶν γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ
3 τὰ ⟨σὰ⟩ ἤθη νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεά-
σαιμεν ἀλλήλοις καὶ συγγηράσαιμεν, καὶ νὴ τοὺς θεοὺς
συναποθάνοιμεν, ἀλλ' αἰσθανόμενοι, Γλυκέρα, ὅτι συν-
αποθνήσκομεν, ἵνα μηδετέρῳ ἡμῶν ἐς Ἅιδου συγκατα-
βαίη τις ζῆλος, εἴ τινων ἄλλων ὁ σωθεὶς πειράσεται
ἀγαθῶν. μὴ δὴ γένοιτό μοι πειραθῆναι σοῦ μηκέτ'
4 οὔσης· τί γὰρ ἂν ἔτι καταλείποιτο ἀγαθόν; ἃ δὲ νῦν
ἤπειξέ με ἐν Πειραιεῖ μαλακιζόμενον — οἶσθα γάρ
μου τὰς συνήθεις ἀσθενείας, ἃς οἱ μὴ φιλοῦντές με
τρυφὰς καὶ σαλακωνίας καλεῖν εἰώθασιν — ἐπιστεῖλαί
σοι ἐν ἄστει μενούσῃ διὰ τὰ Ἀλῷα τῆς θεοῦ, ταῦτ'
5 ἐστίν· ἐδεξάμην ἀπὸ Πτολεμαίου τοῦ βασιλέως Αἰ-

Φ x² *(Vat. 2 Flor. ΠΔ)*

4 ὡς] del. Cob. | ἐπαίρω] ἐπαίρων *Φ* | βούλομαι **scripsi**, βουλόμενος *O* | 5 σου χωρίζεσθαι Bergl., σοι χαρίζεσθαι *O* | λέγω — γράφω] λέγων — γράφων *Φ* | 6 σοῦ Cob., σου *O* | ἥδιον] ἡδὺ aut ἴδιον Mein. | ⟨νι⟩ add. Mein. | 7 μεῖζον] μείζονι Mein. | ⟨ἂν⟩ add. Mein. | ἐπεὶ Seil., εἰ *O* | 9 ⟨σὰ⟩ add. Dorvill. | 11 συναποθνήσκομεν] om. *ΠΔ* | 12 ἡμῶν] ἡμῖν *Φ* | ἐς Reisk., ἐν *O* | 13 ζῆλος εἴ] ἦλος ἤ x² (..... ἤ *Flor.*), ζῆλος τίνων Reisk., ζῆλος μή τινων Mein. | 14 μὴ δὴ] μὴ δὲ x², ὧν μηδὲ *Heysius* | 15 καταλείποιτο] καταλίποιτο *Φ Vat. 2* | *19 ἄστει] ἄστυ Vat. 2,* ἄστυ mut. in ἄστει Φ | 20 ἀπὸ] παρὰ *Cob.*

*γύπτου γράμματα, ἐν οἷς δεῖταί μου πάσας δεήσεις,
καὶ προτρέπεται βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγό-
μενον τοῦτο τὰ τῆς γῆς ἀγαθὰ καὶ ἐμὲ καὶ Φιλή-
μονα· καὶ γὰρ ἐκείνῳ γράμματα κεκομίσθαι φησί· καὶ
αὐτὸς δὲ ὁ Φιλήμων ἐπέστειλέ μοι τὰ ἴδια δῆλον
ὅτι ἐλαφρότερα καὶ ὡς οὐ Μενάνδρῳ γεγραμμένα
ἧττον λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται τὰ ἴδια* 6
*οὗτος. ἐγὼ δὲ οὐ περιμενῶ βουλάς, ἀλλὰ σύ μοι,
Γλυκέρα, καὶ γνώμη καὶ Ἀρεοπαγῖτις βουλὴ καὶ
Ἡλιαία, ⟨καὶ⟩ ἅπαντα νὴ τὴν Ἀθηνᾶν ἀεί ⟨τε⟩ γέγο-
νας καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασι-* 7
*λέως σοι διεπεμψάμην, ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς
ἐμοῖς καὶ τοῖς ἐκείνου γράμμασιν ἐντυγχάνουσαν· ἃ δὲ
ἐπιστέλλειν αὐτῷ ἔγνωκα, βούλομαί σε εἰδέναι. πλεῖν* 8
*μὲν καὶ εἰς Αἴγυπτον ἀπιέναι μακρὰν οὕτως καὶ ἀπῳ-
κισμένην βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεούς,
οὐδὲ ἐνθυμοῦμαι. ἀλλ' οὐδὲ εἰ ἐν Αἰγίνῃ ταύτῃ γε
τῇ πλησίον ἔκειτο Αἴγυπτος, οὐδ' οὕτως ἐν νῷ ἂν*

Φ x² (*Vat.* 2 *Flor.* *Π Δ*)

2 *καὶ προτρέπεται*] post *ἀγαθὰ* colloc. Herch., ubi mavult addere *διαβῆναι πρὸς αὐτὸν* Mein., *ἥκειν* Pol. | 4 *φησί* Hirsch., *φασί* O, *κεκόμισται* [*φασί*] Herel., *σαφές* Maehl., del. *καὶ γὰρ* — *φασί* Herw. | 5 *δῆλον ὅτι* Mein., *δηλῶν* O, *δῆλα δὴ* Mein. altera conj. | 6 *ὡς οὐ*] *οὐχ ὡς* deleto sq. *ἧττον λαμπρά* Nab. | 8 ante *οὐ* suppl. ⟨*αὐτοῦ*⟩ Seil., ⟨*ἄλλω*[illegible]⟩ Reisk. | 10 ⟨*καὶ*⟩ add. Cob. Cf. IV 19,6 | ⟨*τε*⟩ add. Cob[illegible] 12 *βασιλέως* — *μὴ*] *βασιλέως σοι* ⟨*οὐ*⟩ — *μὴ* Reisk. (se[illegible] § 2). *βασιλέως* — *δὴ* Mein., *βασιλέως* ⟨*φιλῶς*⟩ — [illegible] ⟨*τοῖς αὐτοῖς*⟩ Jacobs. | 14 *ἔγνωκα βο*[illegible] *ἔγνων κἂν βούλομαι Δ* | *σε*] *δὲ* V[illegible] *καὶ*] *πλεῖν μὲν γὰρ εἰς Αἴγυπτο*[illegible] [*καὶ*] Cob. | 17 *οὐδὲ*] *οὐδὲν Π Δ* V[illegible] *Φ* | *οὐδὲ*] *οὐδὲν Δ* | *ταύτῃ* [illegible] *πλησίον*

ἔσχον ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς σῆς φιλίας μόνος ἐν τοσούτῳ ὄχλῳ Αἰγυπτίων χωρὶς Γλυκέρας ἐρημίαν
9 *πολυάνθρωπον ὁρᾶν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω μᾶλλον αὐλάς, ἢ τὰς ἁπάντων τῶν σατραπῶν καὶ βασιλέων, ⟨ἵν'⟩ ἐπικίνδυνον μὲν τὸ ἄγαν ἐλεύθερον, εὐκαταφρόνητον δὲ τὸ κολακεῦον,*
10 *ἄπιστον δὲ τὸ εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς θηρικλείους καὶ τὰ καρχήσια καὶ τὰς χρυσίδας καὶ πάντα τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα παρὰ τούτοις ἀγαθὰ φυόμενα, τῶν κατ' ἔτος Χοῶν καὶ τῶν ἐν τοῖς θεάτροις Ληναίων καὶ τῆς χθιζῆς ὁμολογίας καὶ τῶν τοῦ Λυκείου γυμνασίων καὶ τῆς ἱερᾶς Ἀκαδημ⟨ε⟩ίας οὐκ ἀλλάττομαι, μὰ τὸν Διόνυσον καὶ τοὺς βακχικοὺς αὐτοῦ κισσούς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς Πτολεμαίου βούλομαι διαδήμασιν, δρώσης καὶ καθημένης ἐν τῷ θεάτρῳ Γλυκέρας. ποῦ γὰρ ἐν Αἰγύπτῳ ὄψομαι*
11 *ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην; ποῦ δὲ δημοκρα-*

Φ x^2 *(Vat. 2 Flor. Π Δ)*

4 *μᾶλλον*] *μιᾶς* Herm. | *αὐλάς* Cob., *ἀγκάλας* *O*. Mavult *ἢ τὰς ⟨αὐλὰς⟩* Bergl., *ἢ τὰς ⟨ὁμιλίας⟩* Maehl. | 5 *⟨ἵν'⟩* add. Cob. | *μὲν*] *μὲν ⟨οὖν⟩* Ald. | 6 *ἄγαν ἐλεύθερον* scripsi, *ἀνελεύθερον* *O*, del. *ἂν* Cob., *ἐλευθεριάζον* Mein., *λίαν ἐλεύθερον* Maehl. | 7 *εὐτυχούμενον*] *εὐτυχοῦν* Bergl. | *θηρικλείους* Bergl., *ἡρακλείους* *O* | 9 *ἐπίφθονα*] *ἄφθονα* Cob. | *παρὰ τούτοις*] addubitat Mein., sed recte cum *ἐπίφθονα* jungit Büch. | *φυόμενα*] *καλούμενα* vel *ὑμνούμενα* Mein., *φαινόμενα* Metr. | 11 *ὁμολογίας* *Φ*, *ἀμαλογίας* x^2, *ἀνολογίας* *Δ*. Conjecit *χύτρους* (*χύτρων?*) *ὁμολογίας* Bergl., *σῆς ὁμιλίας* Irmisc., *χθιζῆς ὁμιλίας* Wagn. (ed.), *Ἀττικῆς στωμυλίας* Reisk., idem sed *ἀστικῆς* Jacobs., *σχολικῆς ὁμολογίας* G. Hermann., *ἡδίστης οἰνοφλυγίας* Maehl., *χρυσῆς βωμολοχίας* Mein., *χθιζῆς ἀμαξολογίας* Herm. (qui deinde vulg. vertit 'cena heri conducta'), *χθιζῆς πιθοιγίας* Herch. (ed.) χθιζῆς *σεμνολογίας* Pol. *Defend.* *ἀμα*(vel *ἀμα*)*λογίας* Büch. | 12 ⟨ε⟩ add. Mein. (ed.) | 14 *τοῖς*] *τοῦ* *Φ* | 15 *δρώσης*] *παρούσης* Nab.

τικὸν ὄχλον οὕτως ἐλευθεριάζοντα; ποῦ δὲ θεσμοθέτας ἐν ταῖς ἱεραῖς κόμαις κεκισσωμένους; ποῖον περισχοίνισμα; ποίαν αἵρεσιν; ποίους Χύτρους; Κεραμεικόν, ἀγοράν, δικαστήρια, τὴν καλὴν ἀκρόπολιν, τὰς σεμνὰς θεάς, τὰ μυστήρια, τὴν γειτνιῶσαν Σαλαμῖνα, τὰ στενά, τὴν Ψυττάλ⟨ε⟩ιαν, τὸν Μαραθῶνα, ὅλην ἐν ταῖς Ἀθήναις τὴν Ἑλλάδα, τὴν Ἰωνίαν, τὰς Κυκλάδας πάσας; ἀφεὶς ταῦτα καὶ Γλυκέραν μετ' αὐτῶν εἰς Αἴγυπτον ἀπέλθω χρυσὸν λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι; μετὰ Γλυκέρας τοσοῦτον διατεθαλασσευμένης; οὐ πενία δέ μοι ἔσται χωρὶς αὐτῆς ταῦτα; ἐὰν δὲ ἀκούσω τοὺς σεμνοὺς ἔρωτας εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός μοι πάντες οἱ θησαυροὶ γενήσονται; καὶ ἀποθνήσκων τὰς μὲν λύπας ἐμαυτῷ συναποίσω, τὰ δὲ χρήματα τοῖς ἰσχύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται. ἦ μέγα τὸ συμβιοῦν Πτολεμαίῳ καὶ σατράπαις καὶ τοιούτοις ψόφοις, ὧν οὔτε τὸ φιλικὸν βέβαιον οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον; ἐὰν δὲ διοργισθῇ τί μοι Γλυκέρα, ἅπαξ αὐτὴν ἁρπάσας κα φίλησα· ἂν ἔτι ὀργίζηται, μᾶλλον αὐτὴν ἐβιασά κἂν βαρυθύμως ἔχῃ, δεδάκρυκα· καὶ πρὸς ταῦτ', οὐ

Φ x^2 *(Vat. 2 Flor. Π Δ)*

2 ἐν—κόμαις] ἐν—κώμαις Φ, ἐν τοῖς ἱεροῖς κώμοις Rei defend. κώμαις Bergk., defend. κόμαις Mein, et proponit etiam πομπαῖς) | 3 αἵρεσιν] ἀρχαιρεσίαν Mein. | 4—5 τὴν—μυστήρια] om. Π Δ | 5 τὰ στ τὰ στήνια Dorvill., τὰ Σιλήνια Mein. | 6 ⟨ε⟩ τὸν] τὴν Π Δ | 7 τὴν Ἰωνίαν] ὅλην τὴν Ἰωνίαν x^2 scripsi, διέλθω O | καὶ πλοῦτον] πλοῦτον δέ Φ, χρ γυροῦν πλοῦτον cl. Plat. Legg. VII 801b Cob., τον Pol. | 10 χρήσομαι; μετὰ] χρήσομαι τῆς Bergk. | 12 ἐμοὺς Maehl. | 19 διοργισθῇ] ὀργισθῇ Δ, δὴ ὀργισθ ἁρπάσας] ἁρπάξας Flor. Π Δ

ἐκείνου, μὰ τὴν Ἄρτεμιν, οὐδὲ προσέπεμψαν ἔτι πολλοὶ
[οὐδὲ ἐπείρασαν] αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς
ἐστιν Ἔρως, ὦ βασιλεῦ, καὶ ἐλθεῖν καὶ ἀναπτῆναι.
ἐλπίσας πτεροῦται, καὶ ἀπελπίσας ταχὺ πτερορρυεῖν
6 εἴωθεν ἀπογνωσθείς. διὸ καὶ μέγα τῶν ἑταιρουσῶν
ἐστι σόφισμα, ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτι-
θεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς. [πρὸς
ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεστιν, ὥστε φόβον εἶναι
κόρου.] λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν ποιεῖν, τὰ δὲ μαλα-
κίζεσθαι, τὰ δὲ ᾄδειν, τὰ δὲ αὐλεῖν, τὰ δὲ ὀρχεῖσθαι,
τὰ δὲ δειπνοποιεῖν, τὰ δὲ κοσμεῖν [σοι] τὸν οἶκον,
τὰς [δὲ] ὁπωσοῦν ἄλλως ταχὺ μαραινομένας μεσολα-
βούσας χάριτας, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστή-
μασιν εὐαλέστεραι αὐτῶν αἱ ψυχαί, φοβουμένων μὴ
ἄλλο πάλιν γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα.
7 ταῦτα δὲ πρὸς μὲν ἑτέρους τάχα ἂν ἐδυνάμην, βασιλεῦ,

x² *(Vat. 2 Flor. Π Δ)*

1 *προσέπεμψαν*] *προσέβλεψαν* mrg. *Π* et *Δ* | 2 [*οὐδὲ ἐπείρασαν*] del. Cob., *οὐδεὶς οὐδὲν προσέπεμψεν* [*ἔτι πολλοὶ*] *οὐδ' ἐπείρασεν* Hirsch., *οὔτε—οὔτε* Herch. | 3 *ἀναπτῆναι*] *ἀποπτῆναι* Herch. (ed.), at cf. sqq. et Aristaen. II 1 | 4 *καὶ*] del. Herch. (ed.) | 4 *ἀπελπίσας*] del. Maehl. | 5 *ἀπογνωσθείς*] del. Cob. | 7 *διακρατεῖν*] *διάγειν* Cob. | 7—9 [*πρὸς—κόρου*] del. Jacobs. (Pro *ὥστε—κόρου* voluit *ὡς πεφοβημέναι κόρον* Bergl., *φοβουμέναις κόρον* Reisk.) | 9 *λοιπὸν*] *λοιπὸν* <*οὖν*> Herch. (ed.) | *ποιεῖν*] *πονεῖν* Arnald., *ἱερὰ ποιεῖν* Reisk., *τι ποιεῖν* Mein., *σκώπτειν* Herch. (ed.) posito *τὰ δὲ μαλακίζεσθαι* post *ὀρχεῖσθαι* | 10 *τὰ δὲ ᾄδειν—ὀρχεῖσθαι*] om. *Δ*, del. Jacobs., haec et sqq. usque ad *οἶκον* del. Mein. | 11 [*σοι*] del. Bergl., conjecit *κοσμῆσαι* Jacobs. | *τὸν οἶκον*] addubitat Pol. | 12 [*δὲ*] del. Bergl. | 13 *χάριτας* Ruhnk., *χρήσεις* x², *χρείας* vel *προφάσεις* vel *ἐγχειρήσεις* Reisk. | *τοῖς διαστήμασιν*] *τοῖς διαστήμασιν*
τοῦ διαστήματος Δ | 14 εὐαλέστεραι Mein. (ed.), εὐαλούστεραι *x², εὐαλωτότεραι* vel *νεαλέστεραι* Lobeck., ἁπλούστεραι Herch. *(ed.) | 16 ἑτέρους] ἑταίρους Δ*

*πλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σέ, ὃς οὕτως ἤδη
αὐχεῖς ἐπ' ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι
πρὸς τὰς ἄλλας ἑταίρας ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ
τὰς φίλας Μούσας, οὐκ ἂν ὑπομείναιμι [πλάττεσθαι]·
οὐχ οὕτως εἰμὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα καὶ τὴν
ψυχὴν ἐμαυτῆς εἰς τὴν σὴν ἀρέσκειαν ὀλίγον ἡγήσομαι
⟨δε⟩δαπανῆσ⟨θ⟩αι. ⟨ἀλλ'⟩ εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ* 8
*Θηριππίδου οἰκίᾳ, ἐν ᾗ μέλλω σοι τὸ τῶν Ἀφροδισίων
εὐτρεπίζειν δεῖπνον, ἔσται διαβόητος ἡ παρασκευή,
ἀλλὰ καὶ ἐν ὅλῃ τῇ Ἀθηναίων πόλει, νὴ τὴν Ἄρτεμιν,
καὶ ἐν τῇ Ἑλλάδι πάσῃ. καὶ μάλιστα οἱ μισητοὶ Λακε-
δαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι οἱ ἐν Ἐφέσῳ
ἀλώπεκες, οὐ παύσονται τοῖς Ταϋγέτοις ὄρεσι καὶ ταῖς
ἐρημίαις ἑαυτῶν διαβάλλοντες ἡμῶν τὰ δεῖπνα καὶ
καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ'* 9
*οὗτοι μὲν χαιρόντων, δέσποτα, σὺ δέ μοι μέμνησο φυ-
λάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν ἂν
ἕλῃ· ἀρίστη γὰρ ἣν ⟨σὺ⟩ βούλει. ἔρρωσο.*

x² (*Vat. 2 Flor. ΠΔ*)

1 *πλάττεσθαι* Bergl., *φυλάττεσθαι* x², *φυλάττειν* Jacobs., del. Keil. | 2 *αὐχεῖς* Maehl., *ἔχεις* O, *οὕτως ἀφειδῆ ἐκχεῖς ἐπ' ἐμὲ ⟨τὸν σὸν πλοῦτον⟩* Reisk. | *ὡς*] *ὥστ'* Cob. | 4 [*πλάττεσθαι*] del. Hirsch. | 5 *λιθίνη*] *ἠλιθία* Nab. | *ἀφεῖσα*] *ἀφ . . . σα* *Flor.*, *ἀφεῖσα ⟨σοι⟩* Reisk. | 6 *τὴν σὴν*] om. *ΠΔ* | 7 ⟨*δε*⟩ et ⟨*θ*⟩ add. Mein., *δαπανήσασα βλάπτεσθαι* Reisk. | ⟨*ἀλλ'*⟩ add. Pol. | 8 *Θηριππίδου* Bergl., *Θηριππιδίου* x² | 9 *ἔσται* *ΠΔ*, *ἔστε* cet. | 10 *Ἀθηναίων*] del. Cob. | 11 *πάσῃ*] om. *ΠΔ* | *οἱ*] *οἱ ⟨θεοῖς⟩* Reisk. | 13 *τοῖς*] *ἐν τοῖς* Seil. | *ὄρεσι*] del. Reisk. | 16 *οὗτοι* Cob., *αὐτοὶ* x² | *μοι* Herch. (ed.), *ἐμοὶ* x² | 17 *τοῦ*] *αὐτοῦ* *ΠΔ* | 18 ⟨*σὺ*⟩ add. Cob.

17 [II 2].

Λεόντιον Λαμίᾳ.

*Οὐδὲν δυσαρεστότερον, ὡς ἔοικεν, ἐστὶν ἄρτι πάλιν
μειρακευομένου πρεσβύτου. οἷά με Ἐπίκουρος οὗτος
διοικεῖ πάντα λοιδορῶν, πάντα ὑποπτεύων, ἐπιστολὰς
2 ἀδιαλύτους μοι γράφων, ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ
τὴν Ἀφροδίτην, εἰ Ἄδωνις ἦν, ἤδη ἐγγὺς ὀγδοήκοντα
γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος
καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πό-
κοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλό-
σοφον τοῦτον; ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας
δόξας καὶ τοὺς διεστραμμένους κανόνας, ἐμὲ δὲ ἀφέτω
τὴν φυσικῶς κυρίαν ἐμαυτῆς ἀστομάχητον καὶ ἀνύ-
3 βριστον. ὄντως ἐγὼ πολιορκητὴν ἔχω τ[οι]οῦτον, οὐχ
οἷον σὺ Λάμια Δημήτριον. μὴ γὰρ ἔστι σωφρονῆσαι
διὰ τὸν ἄνθρωπον τοῦτον; καὶ σωκρατίζειν καὶ στω-
μύλλεσθαι θέλει καὶ εἰρωνεύεσθαι, καὶ Ἀλκιβιάδην*

x² (*Vat. 2 Flor. Π Δ*)

2 *ἄρτι*] del. Ald., *ἄρα* Cob. | *πάλιν*] del. Pol. | 4 *διοικεῖ*] *διώκει* Maehl., *διοχλεῖ* vel *διέθηκε* Cob., *ἀδικεῖ* Herch. (ed.) | 5 *ἀδιαλύτους*] *ἀδιαλείπτους* Arnald., *διωλυγίους* Cob., *ἀδιανύτους* Herm., *ἀδιαπαύστους* Herw. | 6 *ἤδη*] *μήδ'* Nab. | 7 *γεγονὼς*] om. *Vat. 2 Π* | 9 *ὑπομενεῖ*] *ὑπομένει* Herch. (ed.) | 11 *ἀφέτω*] *ἐφέτω Π Δ* | 12 *ἀστομάχητον*] *ἀνενόχλητον* Lennep., *ἀστόβαστον* Hemst., *αὐτομάχητον* Mein. (ed.), *ἀστονάχητον* Maehl., *ἐραστομάχητον* Nab., *ἀπροσμάχητον* Herw. | *φυσικῶς*] *μουσικῶς Π* | 13 *ἐγὼ πολιορκητὴν* Herch. (ed.), *ἐπιπολιορκητὴν* x², *Ἐπίκουρον πολιορκητὴν* Lennep., [*ἐπι*]*πολιορκητὴν* vel *τι πολιορκητὴν* Reisk., *ἐπιπόλιον πολιορκητὴν* Seil., *εἰπεῖν πολιορκητὴν* Metr., *ὄντως* .... *ἐπεὶ πολιορκητὴν* Mein. | [*οι*] del. Maehl., *οὐ τοιοῦτον οἷον* Gloss. Eichst. | 14 *ἔστι*] *ἔσται* Pol. | *σωφρονῆσαι*] *σωφρονίσαι Π Δ* | 15 *στωμύλλεσθαι* Cob., *στωμυλεύεσθαι* x²

τινὰ τὸν Πυθοκλέα νομίζει καὶ Ξανθίππην ἐμὲ οἴεται ποιήσειν. [καὶ] πέρας ἀναστᾶσα ὁποίποτε γῆν πρὸ γῆς φεύξομαι μᾶλλον ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς ἀδιαπαύστους ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ 4
ἀφορητότατον τετόλμηκεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν τί μοι ποιητέον ἐπέσταλκά σοι· Τίμαρχον τὸν καλὸν οἶσθα τὸν Κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν ἐκ πολλοῦ — πρὸς σέ μοι τἀληθῆ Λάμια — καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ σχεδόν· οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου 5
πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν, ἐσθῆτα⟨ς⟩, χρυσία, θεραπαίνας θεράποντας, Ἰνδὰς Ἰνδούς. τἆλλα σιωπῶ. ἀλλὰ τὰ μικρότατα προλαμβάνει τῆς ὥρας, ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον οὖν ἐραστὴν 'ἀπόκλεισον' φησὶ 'καὶ μὴ προσίτω σοι', ποίοις

x² (*Vat. 2 Flor. Π Δ*)

1 *τὸν* Cob., *ἢ* x², del. Medenb.-Wack., [*τινα*] *τὸν* deleto *νομίζει* Hirsch | 2 [*καὶ*] expunxi, nonnulla hic excidisse censet Mein. | *ἀναστᾶσα*] *ἀναπτᾶσα* Nab. | *ὁποίποτε*] *ὅπῃ ποτὲ* *Flor.* | 3 *ἀδιαπαύστους*] *διαπαύστους* *Δ* | 4—6 ὃ — *σοι·* Pol., ὃ — *σοι.* vulg., ὁ — *σοι.* Mein. (ed.) | 5 *τετόλμηκεν* *Flor.*, *τετόλμηκας* *Vat. 2*, *τετόλμησεν* *Π*, *ἐτόλμησεν* *Δ* | *γνώμην*] *γνώμην σου* Mein. (ed.), *τὴν σὴν γνώμην* Herch. (ed.) | 6 *λαβεῖν*] *μαθεῖν* Hirsch. | 7 *Κηφισιᾶθεν* Seil., *Κηφισιάθεν* x² | 8 *οἰκείως*] *οὐκ οἰκείως* *Π Δ*, *οὐκ ἀνοικείως* Mein. | 9 post *τἀληθῆ* (*τάλη* *Flor.*) add. *λέγειν εἰκὸς* Ald. | 9—10 *καὶ* — *σχεδόν*] aut delenda aut transponenda post *οἰκοῦσαν* censet Herch., *καὶ* — *ἐμυήθην* — *σχεδὸν* [*οὗτος* — *διεπαρθένευσεν*] *ἐκ* — *οἰκοῦσα* (vel *οἰκοῦντος*) Nauck., del. *σχεδόν* Pol., *ἤκουσαν* pro *οἰκοῦσαν* Metr. | 12 [illegible] addidi | 13 *χρυσία* Mein. (ed.), *χρυσεῖα* x² | *Ἰνδὰς* [illegible] Mein. (ed.), ord. inv. x² | 14 *τῆς* Maehl. (qui *σιωπῶ* [illegible] *τατα ἅ*), *τὰς* x², *σιωπῶ τἆλλα τὰ μικρότερα. προλαμβ*[illegible] *ὥρας* Nauck., *σιωπῶ. ἅμα δὲ τὰ μικρότατα* Herw., [illegible] *τὰ ἀκρότατα* Pol. | 15 *με*] *με* ⟨*τῆς ὀπώρας*⟩ Reisk[illegible] *νῦν* *Π Δ*

δοκεῖς αὐτὸν ἀποκαλῶν ὀνόμασιν; οὔτε ὡς Ἀττικὸς οὔτε
ὡς φιλόσοφος, ... ἢ Καππαδοκίας πρῶτος εἰς τὴν
6 Ἑλλάδα ἥκων. ἐγὼ μὲν εἰ καὶ ὅλη γέμοι ἡ Ἀθηναίων
πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ ζυγοστατήσω
πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα, μᾶλλον
δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σὺ λέγεις Δάμια; οὐκ
ἀληθῆ ταῦτα; οὐ δίκαιά φημι; καὶ μὴ δή, δέομαί σου
πρὸς τῆς Ἀφροδίτης, μή σοι ταῦτα ἐπελθέτω· 'ἀλλὰ
φιλόσοφος, ἀλλὰ ἐπιφανής, ἀλλὰ πολλοῖς φίλοις κεχρη-
μένος'. λαβέτω καὶ ἀγὼ ἔχω, διδασκέτω δ' ἄλλους.
ἐμὲ γὰρ οὐδὲν θάλπει ἡ δόξα, ἀλλ' ὃν θέλω δὸς Τί-
7 μαρχον, Δάματερ. ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται
ὁ νεανίσκος καταλιπών, τὸ Λύκειον καὶ τὴν ἑαυτοῦ
νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ'
αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς
ὑπηνέμους αὐτοῦ δόξας. ὁ ⟨δ'⟩ Ἀτρεὺς οὗτος 'ἔξελθε'
φησίν 'ἐκ τῆς ἐμῆς μοναγρίας καὶ μὴ πρόσιθι Λεοντίῳ'.
ὡς οὐ δικαιότερον ἐκείνου ἐροῦντος 'σὺ μὲν οὖν μὴ
8 πρόσιθι τῇ ἐμῇ'. καὶ ὁ μὲν νεανίσκος ὢν ἀνέχεται

x² (*Vat. 2 Flor. ΠΔ*)

2 lac. sign. posui. Pro ἢ conj. ἐκ Ald., ⟨ἀλλ' ὡς φορτηγὸς (vel ὀνηλάτης)⟩ ἐκ Reisk., ἐκ Καππαδοκίας ⟨δὲ⟩ Hemst., ⟨ἀλλ' οἷον ἐκ Φρυγίας⟩ ἢ Pol. | πρῶτος] πρῴην Reisk., πρῶτον Hemst., προσφάτως Stang. | εἰς] om. *Flor. ΠΔ* | 3 μὲν] δὲ Ald. | γέμοι Mein. (ed.), γένοιτο x² | 5 αὐτοὺς *ΠΔ*, αὐτοῖς cet. | 6 σὺ] σοὶ *ΠΔ* | 7—9 καὶ—'ἀλλὰ—κεχρημένος' Pol., 'καὶ μήν', φής, 'δέδοικά σου—κεχρημένος' Reisk., [καὶ] 'μὴ—ἐπελθέτω· ἀλλὰ—κεχρημένος' Mein. (ed.) | 8 ἐπελθέτω Cob., ὑπελθέτω x² | 10 καὶ ἀγὼ ἔχω Cob., καὶ ἃ ἔχω x², κατεχέτω Lennep., προσλαβέτω καὶ οἷς ἔχει Hirsch. | 11 γὰρ scripsi, δὲ x², γε Seil. | ἡ Reisk., τι x², del. Herch. (ed.) | ὃν *ΠΔ*, ὃ cet. | δὸς Ald., δὲ x². Possis etiam [ἀλλ'] ὃν θέλω δὲ | *14* νεότητα] σεμνότητα Metr. | 16 ⟨δ'⟩ add. Mein. (ed.) | Ἀτρεὺς] ἀγρεὺς Maehl. | 17 μοναγρίας] μοναρχίας Bergl. | καὶ] ἢ *Mein.*

*τὸν ὕστερον ἀντεραστὴν γέροντα, ὁ δὲ τὸν δικαιότε-
ρον οὐχ ὑπομένει. τί ποιήσω, πρὸς τῶν θεῶν ἱκετεύω
σε Λάμια. νὴ τὰ μυστήρια, νὴ τὴν τούτων τῶν κακῶν
ἀπαλλαγήν, ὡς ἐνθυμηθεῖσα τοῦ Τιμάρχου τὸν χωρισμὸν
ἄρτι ἀπέψυγμαι καὶ ἵδρωκα τὰ ἄκρα καὶ ἡ καρδία
μου ἀνέστραπται. δέομαί σου, δέξαι με πρὸς σεαυτὴν* 9
*ἡμέρας ὀλίγας, καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλί-
κων ἀπέλαυεν ἀγαθῶν ἔχων ἐν τῇ οἰκίᾳ ἐμέ. καὶ οὐ-
κέτι φέρει τὸν κόρον, εὖ οἶδα· πρεσβευτὰς εὐθὺς
πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμα⟨ρ⟩χον
καὶ Πολύαινον. ποσάκις οἴει με, Λάμια, πρὸς αὐτὸν* 10
*ἰδίᾳ παραγενομένην εἰπεῖν 'τί ποιεῖς Ἐπίκουρε; οὐκ
οἶσθα ὡς διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου
⟨ἀδελφὸς⟩ ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς
θεάτροις, παρὰ τοῖς ἄλλοις σοφισταῖς'; ἀλλὰ τί ἔστιν
αὐτῷ ποιῆσαι; ἀναίσχυντός ἐστι τῷ ἐρᾶν. καὶ ἐγὼ
ἔσομαι τοίνυν ὁμοία τις αὐτῷ [ἀναίσχυντος] καὶ οὐκ
ἀφήσω τὸν ἐμὸν Τίμαρχον. ἔρρωσο.*

x² *(Vat. 2 Flor. Π Δ)*

1 *ὕστερον*] *ἕτερον Π Δ*, *γεραίτερον* Herch. (ed.) | *γέροντα*] del. Herch. (ed.) | 3 *τὴν*] om. *Π* | 4 *ὡς ἐνθυμηθεῖσα*] *παρενθυμηθεῖσα* Reisk. | 5 *ἵδρωκα τὰ ἄκρα* Mein. (ed.), *ἱδρῶ καὶ τὰ ἄκρα* x², *ἵδρωκε τὰ ἄκρα* Reisk., *ἱδρῶ κατάκρας* Porson., *ἱδρῶ κατὰ τὰ ἄκρα* vel *ἱδρῶ [καὶ] τὰ ἄκρα* Lennep., *ἱδρῶ δειλάκρα* Hemst., *ἄρτι ἱδρῶ καὶ ἀπέψυγμαι τὰ ἄκρα* Majus, *ἰδίῳ τὰ ἄκρα* Cob., *ἱδρὼς καταρρεῖ* Herm. | 8 *ἀπέλαυεν* Cob., *ἀπήλαυεν* x² | *ἐμέ* scripsi, *με* x² | *καὶ*] om. Ald. | 9 *φέρει—οἶδα·*] *φέρων—οἶδα,* Hirsch. | *κόρον*] *χωρισμόν* Mein., *κόπον* Pol. | 10 ⟨*ρ*⟩ add. Klotz | 13 *ὡς*] *ὅτι Π Δ* | *διακωμῳδεῖ—Μητροδώρου*] om. *Flor.* posito lac. sign. | 14 ⟨*ἀδελφὸς*⟩ addidi. In x² est lac. sign. | 15 *ἔστιν* Seil. (ed.), *ἐστιν* x² | 16 *αὐτῷ*] *αὐτὸν* Mein. | *τῷ ἐρᾶν* Pol., *τὸ ἐρᾶν* x², *ὁ ἐρῶν* Reisk., *ὁ γέρων* Mein. | 17 *ἔσομαι*] *γενήσομαι* Hirsch. | *τοίνυν*] del. Mein., inducto etiam [*ἀναίσχυντος*], quo servato Ald. scripsit *ὁμοίως*, Seil. *ὅμοια*.

15 [I 40].

Φιλουμένη Κρίτωνι.

Τί πολλὰ γράφων ἀνιᾷς σαυτόν; πεντήκοντά μοι χρυσῶν δεῖ καὶ γραμμάτων οὐ δεῖ. εἰ μὲν οὖν φιλεῖς, δός· εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει. ἔρρωσο.

16 [II 1].

Λάμια Δημητρίῳ.

Σὺ ταύτης τῆς παρρησίας αἴτιος, ⟨ὃς⟩ τοσοῦτος ὢν βασιλεὺς εἶτα ἐπέτρεψας καὶ ἑταίρᾳ γράφειν σοι, [καὶ] οὐχ ἡγησάμενος δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλῃ μοι ἐντυγχάνων. ἐγώ, δέσποτα Δημήτριε, ὅταν μὲν ἔξω σε θεάσωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν στρατοπέδων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν Ἀφροδίτην, πέφρικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὡς τὸν ἥλιον, μὴ ἐπικαῶ τὰ ὄμματα· καὶ τότε μοι ὄντως ὁ πολιορκητὴς εἶναι
2 *δοκεῖς Δημήτριος· οἷον δὲ καὶ βλέπεις τότε, ὡς πικρὸν καὶ πολεμικόν· καὶ ἀπιστῶ ἐμαυτῇ καὶ λέγω ‘Λάμια, σὺ μετὰ τούτου καθεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν οὗτος ἐπέσταλκε; σοὶ Γνάθαιναν τὴν ἑταίραν συγκρίνει’; καὶ ἠλογημένη σιωπῶ καὶ εὔ-*

x² *(Vat. 2 Flor. ΠΔ)*

1 Fort. ante hoc responsum excidit ep. quaedam *Κρίτων Φιλουμένῃ* | 2 *μοι* Arnald., *σοι* x² | 3 *καὶ*] del. Hirsch.
6 *τῆς*] om. *ΠΔ* | 6—7 ⟨*ὃς*⟩ et *ἐπέτρεψας* Mein. (ed.), *ἐπιτρέψας* x² | *τοσοῦτος*] om. *ΠΔ* | 7 [*καὶ*] del. Mein. (ed.) | 9 *Δημήτριε*] *Δάματερ ΠΔ* | 10 *καὶ ἀκούσω*] del. Herch. (ed.) | 12 post *πέφρικα* add. *καὶ δέδοικα Δ* | 15 *Δημήτριος ΠΔ*, *Δάματερ* cet., del. Pol. | *πικρὸν*] *μικρὸν ΠΔ*, *φρικτὸν* Bergl. | 16 *Λάμια*] *ὦ Λάμια* Jacobs. | 17 *τούτου*] *τοῦδε Π* | 19 *ἠλογημένη*] *διηπορημένη* Cob. | *εὔχομαί* Mein. (ed.), *εὐχομένη* x²

χομαί σε θεάσασθαι παρ' ἑαυτῇ. καὶ ὅταν ἔλθῃς, 3
προσκυνῶ σε· καὶ ὅταν περιπλακείς με καταφιλῇς,
πάλιν πρὸς ἐμαυτὴν τἀναντία λέγω 'οὗτός ἐστιν ὁ
πολιορκητής; οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις; τοῦ-
τον φοβεῖται ⟨ἡ⟩ Μακεδονία, τοῦτον ἡ Ἑλλάς, τοῦτον
ἡ Θρᾴκη; νὴ τὴν Ἀφροδίτην, σήμερον αὐτὸν τοῖς αὐ-
λοῖς ἐκπολιορκήσω καὶ ὄψομαι τί με διαθήσει'. ......
μᾶλλον εἰς τρίτην, παρ' ἐμοὶ γὰρ δειπνήσεις, δέομαι.
τὰ Ἀφροδίσια ποιῶ ταῦτα ⟨τὰ⟩ κατ' ἔτος, καὶ ἀγῶνα
ἔχω ἀεὶ τὰ πρότερα τοῖς ὑστέροις νικᾶν. ὑποδέξομαι 4
δή σε ἐπαφροδίτως καὶ ὡς ἔνι μάλιστα ἐπιφανῶς, ἄν
μοι περιουσιάσαι γένηται ὑπὸ σοῦ, μηδὲν ἀνάξιον τῶν
σῶν ἀγαθῶν ἐξ ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιη-
κυίᾳ, καίτοι σοῦ γε ἐπιτρέποντος ὅπως ἂν βούλωμαι
χρῆσθαι τῷ ἐμῷ σώματι· ἀλλὰ κέχρημαι καλῶς καὶ
ἀμίκτως πρὸς ἑτέρους. οὐ ποιήσω τὸ ἑταιρικὸν οὐδὲ 5
ψεύσομαι, δέσποτα, ὡς ἄλλαι ποιοῦσιν. ἐμοὶ γὰρ ἐξ

x^2 (*Vat. 2 Flor. Π Δ*)

1 ἑαυτῇ] ἐμαυτῇ Herch. | 2 προσκυνῶ σε Ald., προσκυνοῦσα x^2 | με καταφιλῇς Hirsch., μέγα φιλῇς x^2, ⟨ἐμὲ⟩ μέγα φιλῇς Gloss. Eichst., με φιλῇς Mein. (ed.) | 5 ⟨ἡ⟩ add. Mein. (ed.) | 6 αὐτὸν] αὐτοῖς Π Δ | 7 τί με διαθήσει (διαθήσειν Π Δ)] εἰ μειδιάσει Herm., πῶς με διαθήσει Herw. | 8 Ante μᾶλλον (ita x^2, μεῖνον Ald.) lac. sign. posuit Mein. opinatus aliquid de instante Demetrii profectione excidisse, Lamiamque deinde scripsisse μὴ σύ γε, ἀλλὰ μεῖνον εἰς τὴν ἐπιοῦσαν ἢ μᾶλλον Proponit ἢ μᾶλλον μεῖνον Pol. | 9 ταῦτα ⟨τὰ⟩ Mein., τὰ Herch. (ed.) | 10 ἀεὶ—νικᾶν Cob., εἰ—νικᾷ x^2, εἰ—νικᾶται Bergl., εἰ—νικῶ Reisk., [εἰ]—νικᾶν Hemst. | 11 ἐπαφροδίτως] ἐπαφρίτως *Vat. 2*, ἐπαφρ ... τως Π | ἐπιφανῶς Reisk., πιθανῶς x^2, quod defend. Herm. mutato sq. περιουσιάσαι in παρρησιάσαι | 11—12 ἄν—γένηται] ἁρμοῖ ⟨γὰρ⟩ ἐν περιουσίαις γεγένημαι Reisk., καὶ γάρ μοι—γεγένηται Seil., idem sed περιουσία Herch. (ed.) requirens παρὰ pro ὑπὸ | 13 ἀγαθῶν] ἀγκαλῶν Fried. | πεποιηκυίᾳ Bergl., πεποιηκυῖα x^2 | γε Bergl., τε x^2

ἐκείνου, μὰ τὴν Ἄρτεμιν, οὐδὲ προσέπεμψαν ἔτι πολλοὶ
[οὐδὲ ἐπείρασαν] αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς
ἐστιν Ἔρως, ὦ βασιλεῦ, καὶ ἐλθεῖν καὶ ἀναπτῆναι.
ἐλπίσας πτεροῦται, καὶ ἀπελπίσας ταχὺ πτερορρυεῖν
6 εἴωθεν ἀπογνωσθείς. διὸ καὶ μέγα τῶν ἑταιρουσῶν
ἐστι σόφισμα, ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτι-
θεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς. [πρὸς
ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεστιν, ὥστε φόβον εἶναι
κόρου.] λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν ποιεῖν, τὰ δὲ μαλα-
κίζεσθαι, τὰ δὲ ᾄδειν, τὰ δὲ αὐλεῖν, τὰ δὲ ὀρχεῖσθαι,
τὰ δὲ δειπνοποιεῖν, τὰ δὲ κοσμεῖν [σοι] τὸν οἶκον,
τὰς [δὲ] ὁπωσοῦν ἄλλως ταχὺ μαραινομένας μεσολα-
βούσας χάριτας, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστή-
μασιν εὐαλέστεραι αὐτῶν αἱ ψυχαί, φοβουμένων μὴ
ἄλλο πάλιν γένηται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα.
7 ταῦτα δὲ πρὸς μὲν ἑτέρους τάχα ἂν ἐδυνάμην, βασιλεῦ,

x² (*Vat. 2 Flor. Π Δ*)

1 *προσέπεμψαν*] *προσέβλεψαν* mrg. *Π* et *Δ* | 2 [*οὐδὲ ἐπείρασαν*] del. Cob., *οὐδεὶς οὐδὲν προσέπεμψεν* [*ἔτι πολλοὶ*] *οὐδ' ἐπείρασεν* Hirsch., *οὔτε—οὔτε* Herch. | 3 *ἀναπτῆναι*] *ἀποπτῆναι* Herch. (ed.), at cf. sqq. et Aristaen. II 1 | 4 *καὶ*] del. Herch. (ed.) | 4 *ἀπελπίσας*] del. Maehl. | 5 *ἀπογνωσθείς*] del. Cob. | 7 *διακρατεῖν*] *διάγειν* Cob. | 7—9 [*πρὸς—κόρου*] del. Jacobs. (Pro *ὥστε—κόρου* voluit *ὡς πεφοβημέναι κόρον* Bergl., *φοβουμέναις κόρον* Reisk.) | 9 *λοιπὸν*] *λοιπὸν* ⟨*οὖν*⟩ Herch. (ed.) | *ποιεῖν*] *πονεῖν* Arnald., *ἱερὰ ποιεῖν* Reisk., *τι ποιεῖν* Mein., *σκώπτειν* Herch. (ed.) posito *τὰ δὲ μαλακίζεσθαι* post *ὀρχεῖσθαι* | 10 *τὰ δὲ ᾄδειν—ὀρχεῖσθαι*] om. *Δ*, del. Jacobs., haec et sqq. usque ad *οἶκον* del. Mein. | 11 [*σοι*] del. Bergl., conjecit *κοσμῆσαι* Jacobs. | *τὸν οἶκον*] addubitat Pol. | 12 [*δὲ*] del. Bergl. | 13 *χάριτας* Ruhnk., *χρήσεις* x², *χρείας* vel *προφάσεις* vel *ἐγχειρήσεις* Reisk. | *τοῖς διαστήμασιν*] *τοῖς διαστήμασιν*
τοῦ διαστήματος *Δ* | 14 εὐαλέστεραι Mein. (ed.), εὐαλούστεραι *x²*, *εὐαλωτότεραι* vel *νεαλέστεραι* Lobeck., ἁπλούστεραι Herch. *(ed.)* | *16 ἑτέρους*] *ἑταίρους Δ*

*πλάττεσθαι καὶ τεχνιτεύειν· πρὸς δὲ σέ, ὃς οὕτως ἤδη
αὐχεῖς ἐπ' ἐμοὶ ὡς ἐπιδεικνύναι με καὶ ἀγάλλεσθαι
πρὸς τὰς ἄλλας ἑταίρας ὅτι πασῶν ἐγὼ πρωτεύω, μὰ
τὰς φίλας Μούσας, οὐκ ἂν ὑπομείναιμι [πλάττεσθαι]·
οὐχ οὕτως εἰμὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα καὶ τὴν
ψυχὴν ἐμαυτῆς εἰς τὴν σὴν ἀρέσκειαν ὀλίγον ἡγήσομαι
⟨δε⟩δαπανῆσ⟨θ⟩αι. ⟨ἀλλ'⟩ εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ* 8
*Θηριππίδου οἰκίᾳ, ἐν ᾗ μέλλω σοι τὸ τῶν Ἀφροδισίων
εὐτρεπίζειν δεῖπνον, ἔσται διαβόητος ἡ παρασκευή,
ἀλλὰ καὶ ἐν ὅλῃ τῇ Ἀθηναίων πόλει, νὴ τὴν Ἄρτεμιν,
καὶ ἐν τῇ Ἑλλάδι πάσῃ. καὶ μάλιστα οἱ μισητοὶ Λακε-
δαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι οἱ ἐν Ἐφέσῳ
ἀλώπεκες, οὐ παύσονται τοῖς Ταϋγέτοις ὄρεσι καὶ ταῖς
ἐρημίαις ἑαυτῶν διαβάλλοντες ἡμῶν τὰ δεῖπνα καὶ
καταλυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ'* 9
*οὗτοι μὲν χαιρόντων, δέσποτα, σὺ δέ μοι μέμνησο φυ-
λάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν ἂν
ἕλῃ· ἀρίστη γὰρ ἣν ⟨σὺ⟩ βούλει. ἔρρωσο.*

x² (*Vat. 2 Flor. ΠΔ*)

1 *πλάττεσθαι* Bergl., *φυλάττεσθαι* x², *φυλάττειν* Jacobs., del. Keil. | 2 *αὐχεῖς* Maehl., *ἔχεις O*, *οὕτως ἀφειδῆ ἐκχεῖς ἐπ' ἐμὲ ⟨τὸν σὸν πλοῦτον⟩* Reisk. | *ὡς*] *ὥστ'* Cob. | 4 [*πλάττεσθαι*] del. Hirsch. | 5 *λιθίνη*] *ἠλιθία* Nab. | *ἀφεῖσα*] *ἀφ . . . σα Flor.*, *ἀφεῖσα ⟨σοι⟩* Reisk. | 6 *τὴν σὴν*] om. *ΠΔ* | 7 ⟨*δε*⟩ et ⟨*θ*⟩ add. Mein., *δαπανήσασα βλάπτεσθαι* Reisk. | ⟨*ἀλλ'*⟩ add. Pol. | 8 *Θηριππίδου* Bergl., *Θηριππιδίου* x² | 9 *ἔσται ΠΔ*, *ἔστε* cet. | 10 *Ἀθηναίων*] del. Cob. | 11 *πάσῃ*] om. *ΠΔ* | *οἱ*] *οἱ ⟨θεοῖς⟩* Reisk. | 13 *τοῖς*] *ἐν τοῖς* Seil. | *ὄρεσι*] del. Reisk. | 16 *οὗτοι* Cob., *αὐτοὶ* x² | *μοι* Herch. (ed.), *ἐμοὶ* x² | 17 *τοῦ*] *αὐτοῦ ΠΔ* | 18 ⟨*σὺ*⟩ add. Cob.

17 [II 2].

Λεόντιον Λαμίᾳ.

*Οὐδὲν δυσαρεστότερον, ὡς ἔοικεν, ἐστὶν ἄρτι πάλιν
μειρακευομένου πρεσβύτου. οἷά με Ἐπίκουρος οὗτος
διοικεῖ πάντα λοιδορῶν, πάντα ὑποπτεύων, ἐπιστολὰς*
2 *ἀδιαλύτους μοι γράφων, ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ
τὴν Ἀφροδίτην, εἰ Ἄδωνις ἦν, ἤδη ἐγγὺς ὀγδοήκοντα
γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος
καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου εὖ μάλα πό-
κοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλό-
σοφον τοῦτον; ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας
δόξας καὶ τοὺς διεστραμμένους κανόνας, ἐμὲ δὲ ἀφέτω
τὴν φυσικῶς κυρίαν ἐμαυτῆς ἀστομάχητον καὶ ἀνύ-*
3 *βριστον. ὄντως ἐγὼ πολιορκητὴν ἔχω τ[οι]οῦτον, οὐχ
οἷον σὺ Λάμια Δημήτριον. μὴ γὰρ ἔστι σωφρονῆσαι
διὰ τὸν ἄνθρωπον τοῦτον; καὶ σωκρατίζειν καὶ στω-
μύλλεσθαι θέλει καὶ εἰρωνεύεσθαι, καὶ Ἀλκιβιάδην*

x² *(Vat. 2 Flor. Π Δ)*

2 *ἄρτι*] del. Ald., *ἄρα* Cob. | *πάλιν*] del. Pol. | 4 *διοικεῖ*] *διώκει* Maehl., *διοχλεῖ* vel *διέθηκε* Cob., *ἀδικεῖ* Herch. (ed.) | 5 *ἀδιαλύτους*] *ἀδιαλείπτους* Arnald., *διωλυγίους* Cob., *ἀδιανύτους* Herm., *ἀδιαπαύστους* Herw. | 6 *ἤδη*] *μήδ'* Nab. | 7 *γεγονὼς*] om. *Vat. 2 Π* | 9 *ὑπομενεῖ*] *ὑπομένει* Herch. (ed.) | 11 *ἀφέτω*] *ἐφέτω Π Δ* | 12 *ἀστομάχητον*] *ἀνενόχλητον* Lennep., *ἀστόβαστον* Hemst., *αὐτομάχητον* Mein. (ed.), *ἀστονάχητον* Maehl., *ἐραστομάχητον* Nab., *ἀπροσμάχητον* Herw. | *φυσικῶς*] *μουσικῶς Π* | 13 *ἐγὼ πολιορκητὴν* Herch. (ed.), *ἐπιπολιορκητὴν* x², *Επίκουρον πολιορκητὴν* Lennep., [*ἐπι*]*πολιορκητὴν* vel *τι πολιορκητὴν* Reisk., *ἐπιπόλιον πολιορκητὴν* Seil., *εἰπεῖν πολιορκητὴν* Metr., *ὄντως* .... *ἐπεὶ πολιορκητὴν* Mein. | [*οι*] del. Maehl., *οὐ τοιοῦτον οἷον* Gloss. Eichst. | 14 *ἔστι*] *ἔσται* Pol. | *σωφρονῆσαι*] *σωφρονίσαι Π Δ* | 15 *στωμύλλεσθαι* Cob., *στωμυλεύεσθαι* x²

*τινὰ τὸν Πυθοκλέα νομίζει καὶ Ξανθίππην ἐμὲ οἴεται
ποιήσειν. [καὶ] πέρας ἀναστᾶσα ὁποίποτε γῆν πρὸ γῆς
φεύξομαι μᾶλλον ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς ἀδια-
παύστους ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ* 4
*ἀφορητότατον τετόλμηκεν, ὑπὲρ οὗ καὶ γνώμην βου-
λομένη λαβεῖν τί μοι ποιητέον ἐπέσταλκά σοι· Τίμαρ-
χον τὸν καλὸν οἶσθα τὸν Κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι
πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν ἐκ πολλοῦ — πρὸς
σέ μοι τἀληθῆ Λάμια — καὶ τὴν πρώτην ἀφροδίτην
ἔμαθον παρ' αὐτοῦ σχεδόν· οὗτος γάρ με διεπαρθέ-
νευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου* 5
*πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν, ἐσθῆτα⟨ς⟩,
χρυσία, θεραπαίνας θεράποντας, Ἰνδὰς Ἰνδούς. τἆλλα
σιωπῶ. ἀλλὰ τὰ μικρότατα προλαμβάνει τῆς ὥρας,
ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον οὖν ἐρα-
στὴν 'ἀπόκλεισον' φησὶ 'καὶ μὴ προσίτω σοι', ποίοις*

x^2 (*Vat. 2 Flor. Π Δ*)

1 *τὸν* Cob., *ἢ* x^2, del. Medenb.-Wack., [*τινα*] *τὸν* deleto *νομίζει* Hirsch | 2 [*καὶ*] expunxi, nonnulla hic excidisse censet Mein. | *ἀναστᾶσα*] *ἀναπτᾶσα* Nab. | *ὁποίποτε*] *ὅπῃ ποτὲ* *Flor.* | 3 *ἀδιαπαύστους*] *διαπαύστους* *Δ* | 4—6 ὃ—*σοι·* Pol., ὃ—*σοι.* vulg., ὁ—*σοι.* Mein. (ed.) | 5 *τετόλμηκεν* *Flor.*, *τετόλμηκας* *Vat. 2*, *τετόλμησεν* *Π*, *ἐτόλμησεν* *Δ* | *γνώμην*] *γνώμην σου* Mein. (ed.), *τὴν σὴν γνώμην* Herch. (ed.) | 6 *λαβεῖν*] *μαθεῖν* Hirsch. | 7 *Κηφισιᾶθεν* Seil., *Κηφισιάθεν* x^2 | 8 *οἰκείως*] *οὐκ οἰκείως* *Π Δ*, *οὐκ ἀνοικείως* Mein. | 9 post *τἀληθῆ* (*τάλη* *Flor.*) add. *λέγειν εἰκὸς* Ald. | 9—10 *καὶ—σχεδόν*] aut delenda aut transponenda post *οἰκοῦσαν* censet Herch., *καὶ—ἐμνήθην —σχεδὸν* [*οὗτος—διεπαρθένευσεν*] *ἐκ—οἰκοῦσα* (vel *οἰκοῦντος*) Nauck., del. *σχεδόν* Pol., *ἤκουσαν* pro *οἰκοῦσαν* Metr. | 12 ⟨ς⟩ addidi | 13 *χρυσία* Mein. (ed.), *χρυσεῖα* x^2 | *Ἰνδὰς Ἰνδούς* Mein. (ed.), ord. inv. x^2 | 14 *τῆς* Maehl. (qui *σιωπῶ τὰ μικρότατα ἃ*), *τὰς* x^2, *σιωπῶ τἆλλα τὰ μικρότερα. προλαμβάνει τὰς ὥρας* Nauck., *σιωπῶ. ἅμα δὲ τὰ μικρότατα* Herw., mavult *τὰ ἀκρότατα* Pol. | 15 *με*] *με* ⟨*τῆς ὀπώρας*⟩ Reisk. | *οὖν*] *νῦν* *Π Δ*

δοκεῖς αὐτὸν ἀποκαλῶν ὀνόμασιν; οὔτε ὡς Ἀττικὸς οὔτε
ὡς φιλόσοφος, ... ἢ Καππαδοκίας πρῶτος εἰς τὴν
6 Ἑλλάδα ἥκων. ἐγὼ μὲν εἰ καὶ ὅλη γέμοι ἡ Ἀθηναίων
πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ ζυγοστατήσω
πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα, μᾶλλον
δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σὺ λέγεις Λάμια; οὐκ
ἀληθῆ ταῦτα; οὐ δίκαιά φημι; καὶ μὴ δή, δέομαί σου
πρὸς τῆς Ἀφροδίτης, μή σοι ταῦτα ἐπελθέτω· 'ἀλλὰ
φιλόσοφος, ἀλλὰ ἐπιφανής, ἀλλὰ πολλοῖς φίλοις κεχρη-
μένος'. λαβέτω καὶ ἀγὼ ἔχω, διδασκέτω δ' ἄλλους.
ἐμὲ γὰρ οὐδὲν θάλπει ἡ δόξα, ἀλλ' ὃν θέλω δὸς Τί-
7 μαρχον, Δάματερ. ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται
ὁ νεανίσκος καταλιπών, τὸ Λύκειον καὶ τὴν ἑαυτοῦ
νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ'
αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς
ὑπηνέμους αὐτοῦ δόξας. ὁ ⟨δ'⟩ Ἀτρεὺς οὗτος 'ἔξελθε'
φησίν 'ἐκ τῆς ἐμῆς μοναγρίας καὶ μὴ πρόσιθι Λεοντίῳ'.
ὡς οὐ δικαιότερον ἐκείνου ἐροῦντος 'σὺ μὲν οὖν μὴ
8 πρόσιθι τῇ ἐμῇ'. καὶ ὁ μὲν νεανίσκος ὢν ἀνέχεται

x² (*Vat. 2 Flor. ΠΔ*)

2 lac. sign. posui. Pro ἢ conj. ἐκ Ald., ⟨ἀλλ' ὡς φορτηγὸς (vel ὀνηλάτης)⟩ ἐκ Reisk., ἐκ Καππαδοκίας ⟨δὲ⟩ Hemst., ⟨ἀλλ' οἷον ἐκ Φρυγίας⟩ ἢ Pol. | πρῶτος] πρώην Reisk., πρῶτον Hemst., προσφάτως Stang. | εἰς] om. *Flor. ΠΔ* | 3 μὲν] δὲ Ald. | γέμοι Mein. (ed.), γένοιτο x² | 5 αὐτοὺς *ΠΔ*, αὐτοῖς cet. | 6 σὺ] σοὶ *ΠΔ* | 7—9 καὶ—'ἀλλὰ—κεχρημένος' Pol., 'καὶ μήν', φής, 'δέδοικά σου—κεχρημένος' Reisk., [καὶ] 'μὴ —ἐπελθέτω· ἀλλὰ—κεχρημένος' Mein. (ed.) | 8 ἐπελθέτω Cob., ὑπελθέτω x² | 10 καὶ ἀγὼ ἔχω Cob., καὶ ἃ ἔχω x², κατεχέτω Lennep., προσλαβέτω καὶ οἷς ἔχει Hirsch. | 11 γὰρ scripsi, δὲ x², γε Seil. | ἡ Reisk., τι x², del. Herch. (ed.) | ὃν *ΠΔ*, ὃ cet. | δὸς Ald., δὲ x². Possis etiam [ἀλλ'] ὃν θέλω δὲ | 14 νεότητα] σεμνότητα Metr. | 16 ⟨δ'⟩ add. Mein. (ed.) | Ἀτρεὺς] ἀγρεὺς Maehl. | 17 μοναγρίας] μοναρχίας Bergl. | καὶ] ἢ *Mein.*

τὸν ὕστερον ἀντεραστὴν γέροντα, ὁ δὲ τὸν δικαιότερον οὐχ ὑπομένει. τί ποιήσω, πρὸς τῶν θεῶν ἱκετεύω σε Λάμια. νὴ τὰ μυστήρια, νὴ τὴν τούτων τῶν κακῶν ἀπαλλαγήν, ὡς ἐνθυμηθεῖσα τοῦ Τιμάρχου τὸν χωρισμὸν ἄρτι ἀπέψυγμαι καὶ ἵδρωκα τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται. δέομαί σου, δέξαι με πρὸς σεαυτὴν 9 *ἡμέρας ὀλίγας, καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπέλαυεν ἀγαθῶν ἔχων ἐν τῇ οἰκίᾳ ἐμέ. καὶ οὐκέτι φέρει τὸν κόρον, εὖ οἶδα· πρεσβευτὰς εὐθὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμα⟨ρ⟩χον καὶ Πολύαινον. ποσάκις οἴει με, Λάμια, πρὸς αὐτὸν* 10 *ἰδίᾳ παραγενομένην εἰπεῖν ‘τί ποιεῖς Ἐπίκουρε; οὐκ οἶσθα ὡς διακωμῳδεῖ σε Τιμοκράτης ὁ Μητροδώρου ⟨ἀδελφὸς⟩ ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς θεάτροις, παρὰ τοῖς ἄλλοις σοφισταῖς’; ἀλλὰ τί ἔστιν αὐτῷ ποιῆσαι; ἀναίσχυντός ἐστι τῷ ἐρᾶν. καὶ ἐγὼ ἔσομαι τοίνυν ὁμοία τις αὐτῷ [ἀναίσχυντος] καὶ οὐκ ἀφήσω τὸν ἐμὸν Τίμαρχον. ἔρρωσο.*

x² (*Vat. 2 Flor. Π Δ*)

1 *ὕστερον*] *ἕτερον Π Δ*, *γεραίτερον* Herch. (ed.) | *γέροντα*] del. Herch. (ed.) | 3 *τὴν*] om. *Π* | 4 *ὡς ἐνθυμηθεῖσα*] *παρενθυμηθεῖσα* Reisk. | 5 *ἵδρωκα τὰ ἄκρα* Mein. (ed.), *ἱδρῶ καὶ τὰ ἄκρα* x², *ἵδρωκε τὰ ἄκρα* Reisk., *ἱδρῶ κατάκρας* Porson., *ἱδρῶ κατὰ τὰ ἄκρα* vel *ἱδρῶ [καὶ] τὰ ἄκρα* Lennep., *ἱδρῶ δειλάκρα* Hemst., *ἄρτι ἱδρῶ καὶ ἀπέψυγμαι τὰ ἄκρα* Majus, *ἰδίω τὰ ἄκρα* Cob., *ἱδρὼς καταρρεῖ* Herm. | 8 *ἀπέλαυεν* Cob., *ἀπήλαυεν* x² | *ἐμέ* scripsi, *με* x² | *καὶ*] om. Ald. | 9 *φέρει—οἶδα·*] *φέρων—οἶδα,* Hirsch. | *κόρον*] *χωρισμόν* Mein., *κόπον* Pol. | 10 ⟨ρ⟩ add. Klotz | 13 *ὡς*] *ὅτι Π Δ* | *διακωμῳδεῖ—Μητροδώρου*] om. *Flor.* posito lac. sign. | 14 ⟨*ἀδελφὸς*⟩ addidi. In x² est lac. sign. | 15 *ἔστιν* Seil. (ed.), *ἐστιν* x² | 16 *αὐτῷ*] *αὐτὸν* Mein. | *τῷ ἐρᾶν* Pol., *τὸ ἐρᾶν* x², *ὁ ἐρῶν* Reisk., *ὁ γέρων* Mein. | 17 *ἔσομαι*] *γενήσομαι* Hirsch. | *τοίνυν*] del. Mein., inducto etiam [*ἀναίσχυντος*], quo servato Ald. scripsit *ὁμοίως*, Seil. *ὅμοια*.

18 [II 3].

Μένανδρος Γλυκέρᾳ.

Ἐγὼ μὰ τὰς Ἐλευσινίας θεάς, μὰ τὰ μυστήρια αὐ-
τῶν, ἅ σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις, Γλυ-
κέρα, μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τἀμὰ οὐδὲ βού-
2 λομαι σου χωρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω. τί
γὰρ ἐμοὶ χωρὶς σοῦ γένοιτ' ἂν ἥδιον; τί⟨νι⟩ δ' ἐπαρ-
θῆναι μεῖζον ⟨ἂν⟩ δυναίμην τῆς σῆς φιλίας; ἐπεὶ καὶ
τὸ ἔσχατον ἡμῶν γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ
3 τὰ ⟨σὰ⟩ ἤθη νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεά-
σαιμεν ἀλλήλοις καὶ συγγηράσαιμεν, καὶ νὴ τοὺς θεοὺς
συναποθάνοιμεν, ἀλλ' αἰσθανόμενοι, Γλυκέρα, ὅτι συν-
αποθνήσκομεν, ἵνα μηδετέρῳ ἡμῶν ἐς Ἅιδου συγκατα-
βαίη τις ζῆλος, εἴ τινων ἄλλων ὁ σωθεὶς πειράσεται
ἀγαθῶν. μὴ δὴ γένοιτό μοι πειραθῆναι σοῦ μηκέτ'
4 οὔσης· τί γὰρ ἂν ἔτι καταλείποιτο ἀγαθόν; ἃ δὲ νῦν
ἤπειξέ με ἐν Πειραιεῖ μαλακιζόμενον — οἶσθα γάρ
μου τὰς συνήθεις ἀσθενείας, ἃς οἱ μὴ φιλοῦντές με
τρυφὰς καὶ σαλακωνίας καλεῖν εἰώθασιν — ἐπιστεῖλαί
σοι ἐν ἄστει μενούσῃ διὰ τὰ Ἁλῷα τῆς θεοῦ, ταῦτ'
5 ἐστίν· ἐδεξάμην ἀπὸ Πτολεμαίου τοῦ βασιλέως Αἰ-

Φ x² *(Vat. 2 Flor. Π Δ)*

4 ὡς] del. Cob. | ἐπαίρω] ἐπαίρων *Φ* | βούλομαι scripsi, βουλόμενος *O* | 5 σου χωρίζεσθαι Bergl., σοι χαρίζεσθαι *O* | λέγω — γράφω] λέγων — γράφων *Φ* | 6 σοῦ Cob., σου *O* | ἥδιον] ἡδὺ aut ἴδιον Mein. | ⟨νι⟩ add. Mein. | 7 μεῖζον] μείζονι Mein. | ⟨ἂν⟩ add. Mein. | ἐπεὶ Seil., εἰ *O* | 9 ⟨σὰ⟩ add. Dorvill. | 11 συναποθνήσκομεν] om. *Π Δ* | 12 ἡμῶν] ἡμῖν *Φ* | ἐς Reisk., ἐν *O* | 13 ζῆλος εἴ] ἧλος ἢ x² (..... ἢ *Flor.*), ζῆλος τίνων Reisk., ζῆλος μή τινων Mein. | 14 μὴ δὴ] μὴ δὲ x², ὧν μηδὲ Heysius | 15 καταλείποιτο] καταλίποιτο *Φ Vat. 2* | 19 ἄστει] ἄστυ *Vat. 2,* ἄστυ mut. in ἄστει *Φ* | 20 ἀπὸ] παρὰ *Cob.*

γύπτου γράμματα, ἐν οἷς δεῖταί μου πάσας δεήσεις,
καὶ προτρέπεται βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγό-
μενον τοῦτο τὰ τῆς γῆς ἀγαθὰ καὶ ἐμὲ καὶ Φιλή-
μονα· καὶ γὰρ ἐκείνῳ γράμματα κεκομίσθαι φησί· καὶ
αὐτὸς δὲ ὁ Φιλήμων ἐπέστειλέ μοι τὰ ἴδια δῆλον
ὅτι ἐλαφρότερα καὶ ὡς οὐ Μενάνδρῳ γεγραμμένα
ἧττον λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται τὰ ἴδια 6
οὗτος. ἐγὼ δὲ οὐ περιμενῶ βουλάς, ἀλλὰ σύ μοι,
Γλυκέρα, καὶ γνώμη καὶ Ἀρεοπαγῖτις βουλὴ καὶ
Ἡλιαία, ⟨καὶ⟩ ἅπαντα νὴ τὴν Ἀθηνᾶν ἀεί ⟨τε⟩ γέγο-
νας καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασι- 7
λέως σοι διεπεμψάμην, ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς
ἐμοῖς καὶ τοῖς ἐκείνου γράμμασιν ἐντυγχάνουσαν· ἃ δὲ
ἐπιστέλλειν αὐτῷ ἔγνωκα, βούλομαί σε εἰδέναι. πλεῖν 8
μὲν καὶ εἰς Αἴγυπτον ἀπιέναι μακρὰν οὕτως καὶ ἀπῳ-
κισμένην βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεούς,
οὐδὲ ἐνθυμοῦμαι. ἀλλ' οὐδὲ εἰ ἐν Αἰγίνῃ ταύτῃ γε
τῇ πλησίον ἔκειτο Αἴγυπτος, οὐδ' οὕτως ἐν νῷ ἂν

Φ x^2 *(Vat. 2 Flor. Π Δ)*

2 καὶ προτρέπεται] post ἀγαθὰ colloc. Herch., ubi mavult addere διαβῆναι πρὸς αὐτὸν Mein., ἥκειν Pol. | 4 φησί Hirsch., φασί *O*, κεκόμισται [φασί] Herel., σαφές Maehl., del. καὶ γὰρ —φασί Herw. | 5 δῆλον ὅτι Mein., δηλῶν *O*, δῆλα δὴ Mein. altera conj. | 6 ὡς οὐ] οὐχ ὡς deleto sq. ἧττον λαμπρά Nab. | 8 ante οὐ suppl. ⟨αὐτοῦ⟩ Seil., ⟨ἄλλων⟩ Reisk. | 10 ⟨καὶ⟩ add. Cob. Cf. IV 19,6 | ⟨τε⟩ add. Cob. | 11—12 βασιλέως—μὴ] βασιλέως σοι ⟨οὐ⟩—μὴ Reisk. (sed cf. ep. sq. § 2), βασιλέως —δὴ Mein., βασιλέως ⟨ψιλῶς⟩—μὴ Pol. | 12 δὶς] δὶς ⟨τοῖς αὐτοῖς⟩ Jacobs. | 14 ἔγνωκα βούλομαι] ἔγνωκα (ν, ἂν supra) βούλομαι *Π*, ἔγνων κἂν βούλομαι *Δ* | σε] δὲ *Vat. 2* | 14—15 πλεῖν—οὕτως καὶ] πλεῖν μὲν γὰρ εἰς Αἴγυπτον [ἀπιέναι] μακρὰν οὕτως [καὶ] Cob. | 17 οὐδὲ] οὐδὲν *Π Δ* | ἐνθυμοῦμαι] ἐνδεθυμοῦμαι *Φ* | οὐδὲ] οὐδὲν *Δ* | ταύτῃ γε] ταυτηΐ Cob. addubitans τῇ πλησίον

ἔσχον ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς σῆς φιλίας μόνος
ἐν τοσούτῳ ὄχλῳ Αἰγυπτίων χωρὶς Γλυκέρας ἐρημίαν
9 πολυάνθρωπον ὁρᾶν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον
τὰς σὰς θεραπεύω μᾶλλον αὐλάς, ἢ τὰς ἁπάντων τῶν
σατραπῶν καὶ βασιλέων, ⟨ἵν'⟩ ἐπικίνδυνον μὲν τὸ
ἄγαν ἐλεύθερον, εὐκαταφρόνητον δὲ τὸ κολακεῦον,
10 ἄπιστον δὲ τὸ εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς θηρι-
κλείους καὶ τὰ καρχήσια καὶ τὰς χρυσίδας καὶ πάντα
τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα παρὰ τούτοις ἀγαθὰ φυ-
όμενα, τῶν κατ' ἔτος Χοῶν καὶ τῶν ἐν τοῖς θεά-
τροις Ληναίων καὶ τῆς χθιζῆς ὁμολογίας καὶ τῶν τοῦ
Λυκείου γυμνασίων καὶ τῆς ἱερᾶς Ἀκαδημ⟨ε⟩ίας οὐκ
ἀλλάττομαι, μὰ τὸν Διόνυσον καὶ τοὺς βακχικοὺς αὐ-
τοῦ κισσούς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς Πτολε-
μαίου βούλομαι διαδήμασιν, δρώσης καὶ καθημένης ἐν
τῷ θεάτρῳ Γλυκέρας. ποῦ γὰρ ἐν Αἰγύπτῳ ὄψομαι
11 ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην; ποῦ δὲ δημοκρα-

Φ x² *(Vat. 2 Flor. Π Δ)*

4 *μᾶλλον*] *μιᾶς* Herm. | *αὐλάς* Cob., *ἀγκάλας O.* Mavult *ἢ τὰς ⟨αὐλὰς⟩* Bergl., *ἢ τὰς ⟨ὁμιλίας⟩* Maehl. | 5 *⟨ἵν'⟩* add. Cob. | *μὲν*] *μὲν ⟨οὖν⟩* Ald. | 6 *ἄγαν ἐλεύθερον* scripsi, *ἀνελεύθερον O,* del. *ἂν* Cob., *ἐλευθεριάζον* Mein., *λίαν ἐλεύθερον* Maehl. | 7 *εὐτυχούμενον*] *εὐτυχοῦν* Bergl. | *θηρικλείους* Bergl., *ἡρακλείους O* | 9 *ἐπίφθονα*] *ἄφθονα* Cob. | *παρὰ τούτοις*] addubitat Mein., sed recte cum *ἐπίφθονα* jungit Büch. | *φυόμενα*] *καλούμενα* vel *ὑμνούμενα* Mein., *φαινόμενα* Metr. | 11 *ὁμολογίας Φ, ἀμαλογίας* x², *ἀνολογίας Δ.* Conjecit *χύτρους (χύτρων?) ὁμολογίας* Bergl., *σῆς ὁμιλίας* Irmisc., *χθιζῆς ὁμιλίας* Wagn. (ed.), *Ἀττικῆς στωμυλίας* Reisk., idem sed *ἀστικῆς* Jacobs., *σχολικῆς ὁμολογίας* G. Hermann., *ἡδίστης οἰνοφλυγίας* Maehl., *χρυσῆς βωμολοχίας* Mein., *χθιζῆς ἁμαξολογίας* Herm. (qui deinde vulg. vertit 'cena heri conducta'), *χθιζῆς πιθοιγίας* Herch. (ed.) *χθιζῆς σεμνολογίας* Pol. Defend. *ἁμα*(vel *ἀμα*)*λογίας* Büch. | 12 *⟨ε⟩* add. Mein. (ed.) | *14 τοῖς*] *τοῦ Φ* | 15 *δρώσης*] *παρούσης* Nab.

τικὸν ὄχλον οὕτως ἐλευθεριάζοντα; ποῦ δὲ θεσμοθέτας ἐν ταῖς ἱεραῖς κόμαις κεκισσωμένους; ποῖον περισχοίνισμα; ποίαν αἵρεσιν; ποίους Χύτρους; Κεραμεικόν, ἀγοράν, δικαστήρια, τὴν καλὴν ἀκρόπολιν, τὰς σεμνὰς θεάς, τὰ μυστήρια, τὴν γειτνιῶσαν Σαλαμῖνα, τὰ στενά, τὴν Ψυττάλ⟨ε⟩ιαν, τὸν Μαραθῶνα, ὅλην ἐν ταῖς Ἀθήναις τὴν Ἑλλάδα, τὴν Ἰωνίαν, τὰς Κυκλάδας πάσας;
ἀφεὶς ταῦτα καὶ Γλυκέραν μετ' αὐτῶν εἰς Αἴγυπτον 12
ἀπέλθω χρυσὸν λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι; μετὰ Γλυκέρας τοσοῦτον διατεθαλασσευμένης; οὐ πενία δέ μοι ἔσται χωρὶς αὐτῆς 13
ταῦτα; ἐὰν δὲ ἀκούσω τοὺς σεμνοὺς ἔρωτας εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός μοι πάντες οἱ θησαυροὶ γενήσονται; καὶ ἀποθνήσκων τὰς μὲν λύπας ἐμαυτῷ συναποίσω, τὰ δὲ χρήματα τοῖς ἰσχύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται. ἦ μέγα τὸ συμβιοῦν Πτολεμαίῳ καὶ σατράπαις καὶ τοιούτοις ψόφοις, ὧν οὔτε τὸ φιλικὸν βέβαιον οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον; ἐὰν δὲ 14
διοργισθῇ τί μοι Γλυκέρα, ἅπαξ αὐτὴν ἁρπάσας κατεφίλησα· ἂν ἔτι ὀργίζηται, μᾶλλον αὐτὴν ἐβιασάμην· κἂν βαρυθύμως ἔχῃ, δεδάκρυκα· καὶ πρὸς ταῦτ', οὐκέθ'

Φ x² (*Vat. 2 Flor. Π Δ*)

2 *ἐν—κόμαις*] *ἐν—κώμαις Φ*, *ἐν τοῖς ἱεροῖς κώμοις* Reisk., defend. *κώμαις* Bergk., defend. *κόμαις* Mein. et Büch. (qui proponit etiam *πομπαῖς*) | 3 *αἵρεσιν*] *ἀρχαιρεσίαν* Seil., *ἵδρυσιν* Mein. | 4—5 *τὴν—μυστήρια*] om. *Π Δ* | 5 *τὰ στενά*] om. *Π Δ*, *τὰ στήνια* Dorvill., *τὰ Σιλήνια* Mein. | 6 ⟨ε⟩ add. Mein. | *τὸν*] *τὴν Π Δ* | 7 *τὴν Ἰωνίαν*] *ὅλην τὴν Ἰωνίαν* x² | 9 *ἀπέλθω* scripsi, *διέλθω O* | *καὶ πλοῦτον*] *πλοῦτον δέ Φ*, *χρυσοῦν—ἀργυροῦν πλοῦτον* cl. Plat. Legg. VII 801b Cob., *κενὸν πλοῦτον* Pol. | 10 *χρήσομαι; μετὰ*] *χρήσομαι τῆς* Bergl. | 12 *σεμνοὺς*] *ἐμοὺς* Maehl. | 19 *διοργισθῇ*] *ὀργισθῇ Δ*, *δὴ ὀργισθῇ* Mein. | *ἁρπάσας*] *ἁρπάξας Flor. Π Δ*

*ὑπομείνασα τὰς ἐμὰς λύπας, δεῖται λοιπὸν οὔτε
στρατιώτας ἔχουσα οὔτε δορυφόρους οὔτε φύλακας·
15 ἐγὼ γὰρ αὐτῇ εἰμι πάντα. ἦ μέγα καὶ θαυμαστὸν
ἰδεῖν τὸν καλὸν Νεῖλον· οὐ μέγα δὲ καὶ τὸν Εὐφρά-
την ἰδεῖν; οὐ μέγα δὲ καὶ τὸν Ἴστρον; οὐ τῶν μεγά-
λων καὶ ὁ Θερμώδων, ὁ Τίγρις, ὁ Ἅλυς [ὁ Ῥῆνος];
εἰ μέλλω πάντας τοὺς ποταμοὺς ὁρᾶν, καταβαπτισθή-
16 σεταί μοι τὸ ζῆν μὴ βλέποντι [μοι] Γλυκέραν. ὁ δὲ
Νεῖλος οὗτος καίπερ ὢν καλός, ἀλλ' ἀποτεθηρίωται,
καὶ οὐκ ἔστιν οὐδὲ προσελθεῖν αὐτοῦ ταῖς δίναις ἐλλο-
χωμένου τοσούτοις κακοῖς. ἐμοὶ γένοιτο, βασιλεῦ
Πτολεμαῖε, χώματος καὶ τάφου πατρῴου τυχεῖν. ἐμοὶ
γένοιτο τὸν Ἀττικὸν ἀεὶ στέφεσθαι κισσὸν καὶ τὸν ἐπ'
ἐσχάρας ὑμνῆσαι κατ' ἔτος Διόνυσον, τὰς μυστηριώτι-
δας ἄγειν τελετάς, δραματουργεῖν τι καινὸν ταῖς ἐτη-
σίοις θυμέλαις [δρᾶμα], γελῶντα καὶ χαίροντα καὶ ἀγω-
17 νιῶντα καὶ φοβούμενον καὶ νικῶντα. Φιλήμων δὲ εὐτυ-
χείτω καὶ τἀμὰ ⟨ἐχέτω⟩ ἀγαθὰ γενόμενος ἐν Αἰγύπτῳ.
οὐκ ἔχει Φιλήμων Γλυκέραν τινά, οὐδὲ ἄξιος ἦν ἴσως
τοιούτου ἀγαθοῦ. σὺ δὲ ἐκ τῶν Ἁλῴων δέομαι, Γλυ-
κέριον, εὐθὺς πετομένη πρὸς ἡμᾶς ἐπὶ τῆς ἀστράβης*

Φ x² *(Vat. 2 Flor. Π Δ)*

1 *λύπας*] *λιτάς* Jacobs. | *δεῖται*] *αἰδεῖται* Jacobs., *κεῖται* vel *ἀνεῖται* Reisk., *κηλεῖται* Herch. (ed.), *ἵεται* Pol. | post *λοιπὸν* nonnulla excidisse credit Mein. | 3 *αὐτῇ* Irmisc., *αὐτῆς* *O* | *ἦ* *Flor.*, *ἢ* cet. | 5 *οὐ τῶν*] *οὕτω* *Π Δ* | 6 [*ὁ Ῥῆνος*] del. Mein. (ed.) | *τοὺς*] *τοὺς ⟨μεγάλους⟩* Nab. | 8 [*μοι*] del. Ald. | 10 *οὐδὲ* Seil., *οὔτε* *O* | 12 *χώματος—τυχεῖν*] hic colloc. Mein., post *γένοιτο* (vrs. 13) hab. *O*, ubi *τὸν—κισσὸν* post *Πτολεμαῖε* legitur | 13 *ἐπ' ἐσχάρας*] *ἐπ' ἐσχατιαῖς* Mein., *ἐπίχαριν* Maehl. | *15 ἐτησίοις*] *ἐτησίαις* Φ | 16 [*δρᾶμα*] delevi | 17 *καὶ φοβούμενον*] *del. Cob.* | *18 ⟨ἐχέτω⟩* add. Mein., mavult *καὶ τἄλλα ἀγαθὰ γενόμενος* Beaud. | 20 *τοιούτου*] *τοσούτου* Cob.

φέρου. μακροτέραν ἑορτὴν οὐδέποτε ἔγνων οὐδὲ ἀκαιροτέραν. Δήμητερ, ἵλεως γενοῦ.

19 [II 4].

Γλυκέρα Μενάνδρῳ.

Ἃς διεπέμψω μοι τοῦ βασιλέως ἐπιστολὰς εὐθὺς ἀνέγνων. μὰ τὴν Καλλιγένειαν ἐν ἧς νῦν εἰμι κατευχαῖς ἔχαιρον, Μένανδρε, ἐκπαθὴς ὑπὸ ἡδονῆς γινομένη, καὶ τὰς παρούσας οὐκ ἐλάνθανον. ἦν δὲ ἥ τε μήτηρ μου καὶ ἡ ἑτέρα ἀδελφὴ Εὐφρόνιον καὶ τῶν φίλων ἣν οἶσθα· καὶ ⟨γὰρ⟩ παρὰ σοὶ ἐδείπνησε πολλάκις, καὶ ἐπῄνεις αὐτῆς τὸν ἐπιχώριον ἀττικισμόν, ἀλλ᾽ ὡς φοβούμενος αὐτὴν ἐπαινεῖν, ὅθεν καὶ μειδιάσασα θερμότερόν σε κατεφίλησα. οὐ μέμνησαι, Μένανδρε; θεασάμεναι 2 δέ με παρὰ τὸ εἰωθὸς καὶ τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς χαίρουσαν ‘ὦ Γλυκέριον’ ἤροντο, ‘τί σοι τηλικοῦτον γέγονεν ἀγαθόν, ὅτι καὶ ψυχῇ καὶ σώματι καὶ πᾶσιν ἀλλοιοτέρα νῦν ἡμῖν πέφηνας; καὶ τὸ σῶμα γεγάνωσαι καὶ διαλάμπεις ἐπιχάριτόν τι καὶ εὐκταῖον’.

Φ x² *(Vat. 2 Flor. Π Δ)*

1 *ἀκαιροτέραν* Ald., *ἀκεραιοτέραν O*
4 *ἃς—ἐπιστολὰς*] *ὡς—τὰς ἐπιστολὰς Π Δ* | 5 *ἐν—εἰμι κατευχαῖς, ἔχαιρον* Pol., *ἐν ἧς* (ita *Δ*, *ᾗ* cet.) *νῦν εἰμι, κατέχαιρον O*, *ἐγεγανώμην καὶ ἔχαιρον* Reisk., *ἐν ἧς νῦν εἰμι τελεταῖς, κατέχαιρον* vel [*ἐν—εἰμι*] *κατέχαιρον* Mein. | 6 *ἐκπαθὴς* Ald., *ἐκπάλης O*, *ἐκπλαγὴς* Mein. (ed.) | *γινομένη*] *γενομένη* Mein. | 8 *Εὐφρόνιον* Mein., *Εὐφόριον O*. Cf. IV 8, 2 | 9 ⟨*γὰρ*⟩ add. Mein. | 10 *ἐπιχώριον*] *ἐπίχαριν* Nab. | 11 *ὅθεν* Reisk., *ὅτε O*, *ὅτου* Jacobs., *ὅτι* Seil. | 12 *θεασάμεναι δέ* Ald., *θεασάμενος O* | 14 *τί*] *τί οσια τί* (sic) *Φ*, *τί ἄρα τί* Mein. (ed.), *τί ἄρα* Cob. | 16 *πᾶσιν*] *πάθεσιν* Lennep., *πᾶσι τρόποις* vel *παντάπασιν* Maehl., *μέλεσι πᾶσιν* Pol. | 16 τὸ σῶμα] τὸ σὸν ὄμμα Jacobs., *τὸ σχῆμα* Erfurdt., τὸ στόμα Jacobitz., τὸ ὄμμα *Mein.* (qui deinde vocem delet), τοσαῦτα Maehl. | 17 τι] del. *Herch. (ed.)*

κἀγὼ ‘Μένανδρον’ ἔφην ‘τὸν ἐμὸν [ὃν] ὁ Αἰγύπτου βασιλεὺς Πτολεμαῖος ἐπὶ τῷ ἡμίσει τῆς βασιλείας τρόπον τινὰ μεταπέμπεται’ μείζονι τῇ φωνῇ φθεγξαμένη καὶ σφοδροτέρᾳ, ὅπως πᾶσαι ἀκούσωσιν αἱ παροῦσαι. καὶ ταῦτα ἔλεγον ἐγὼ διατινάσσουσα καὶ σοβοῦσα ταῖς χερσὶν ἐμαυτῆς τὰς ἐπιστολὰς σὺν τῇ βασιλικῇ σφρα-
3 *γῖδι. ‘χαίρεις οὖν ἀπολειπομένη’; ἔφ[ρ]ασαν. τὸ δὲ οὐκ ἦν, Μένανδρε. ἀλλὰ τοῦτο μὲν οὐδενὶ τρόπῳ μὰ τὰς θεάς, οὐδ’ εἰ βοῦς μοι τὸ ⟨δὴ⟩ λεγόμενον φθέγξαιτο, πεισθείην ἂν ὅτι βουλήσεταί μέ ποτε ἢ δυνήσεται Μένανδρος ἀπολιπὼν ἐν Ἀθήναις Γλυκέραν τὴν ἑαυτοῦ μόνος ἐν Αἰγύπτῳ βασιλεύειν μετὰ πάντων*
4 *τῶν ἀγαθῶν. ἀλλὰ καὶ τοῦτό γε εἰδὼς ἐκ τῶν ἐπιστολῶν ὧν ἀνέγνων ⟨δῆλος⟩ ἦν ὁ βασιλεύς, τἀμὰ πεπυσμένος ὡς ἔοικε περὶ σέ, καὶ ἠρέμα δι’ ὑπονοιῶν Αἰγυπτίοις θέλων ἀστεϊσμοῖς σε διατωθάζειν. χαίρω διὰ τοῦτο, ὅτι πεπλεύκασι καὶ εἰς Αἴγυπτον πρὸς αὐτὸν οἱ ἡμέτεροι ἔρωτες· καὶ πείθεται πάντως ἐξ ὧν ἤκουσεν ἀδύνατα σπουδάζειν ἐπιθυμῶν Ἀθήνας πρὸς αὐτὸν δια-*
5 *βῆναι. τί γὰρ Ἀθῆναι χωρὶς Μενάνδρου; τί δὲ Μένανδρος χωρὶς Γλυκέρας; ἥτις αὐτῷ καὶ τὰ προσωπεῖα διασκευάζω καὶ τὰς ἐσθῆτας ἐνδύω, κἂν τοῖς παρασκηνίοις*

Φ x² *(Vat. 2 Flor. ΠΔ)*

1 [ὃν] del. Ald. | 2 *τρόπον τινὰ*] del. Herch. (ed.) | 6 *τὰς ἐπιστολὰς* scripsi (cl. ep. praec. § 7), *τῆς ἐπιστολῆς Φ*, *τὴν ἐπιστολὴν* x² | *σὺν τῇ*] *ἑαυτῇ Vat. 2*, *οὖν τῇ Flor.*, *σὺν αὐτῇ τῇ* Wagn. | 7 [ρ] exp. Bergl., *ἔφρασεν Flor. Vat. 2* | 9 *βοῦς*] *δρῦς* cl. III 16, 1 Mein. | ⟨*δὴ*⟩ add. Mein. recte: Alc. nunquam omittit | 10 *δυνήσεται*] *διανοήσεται* Nab. | 13 *εἰδὼς* Mein., *δῆλος O*, *δῆλον* Reisk., *δὴ* Jacobs., *δεδιὼς* Keil., *δὴ ὅλος* Metr. | 14 ⟨*δῆλος*⟩ add. Ald. | 15 *σέ* Reisk., *σοῦ O* | *ἠρέμα Mein.*, *ἄτρεμα O* | 16 *ἀστεϊσμοῖς* Hemst., *ἀττικισμοῖς O*, *ἀκκισμοῖς Herm.* | 17 *πρὸς αὐτὸν*] del. Pol. | 22 *παρασκηνίοις Mein.*, *προσκηνίοις O*, *καὶ ἐπὶ τοῖς προσκηνίοις* Bergl.

*ἕστηκα τοὺς δακτύλους ἐμαυτῆς πιέζουσα καὶ τρέ-
μουσα, ἕως ἂν κροταλίσῃ τὸ θέατρον· τότε νὴ τὴν Ἄρ-
τεμιν ἀναψύχω καὶ περιβάλλουσά σε τὴν ἱερὰν [τῶν
δραμάτων] ἐκείνην κεφαλὴν ἐναγκαλίζομαι. ἀλλ' ὅ γε* 6
*ταῖς φίλαις τότε χαίρειν ἔφην, τοῦτ' ἦν Μένανδρε,
ὅτι οὐκ ἄρα Γλυκέρα μόνον ἀλλὰ καὶ βασιλεῖς ὑπερ-
θαλάσσ⟨ι⟩οι ἐρῶσί σου, καὶ διαπόντιοι φῆμαι τὰς σὰς
ἀρετὰς κατηγγέλκασι. καὶ Αἴγυπτος καὶ Νεῖλος καὶ
Πρωτέως ἀκρωτήρια καὶ αἱ Φάριαι σκοπιαὶ πάντα
μετέωρα νῦν ἐστι, βουλόμενα ἰδεῖν Μένανδρον καὶ
ἀκοῦσαι φιλαργύρων καὶ ἐρώντων καὶ δεισιδαιμόνων
καὶ ἀπίστων [καὶ πατέρων καὶ υἱῶν ⟨καὶ γραῶν⟩ καὶ
θεραπόντων] καὶ παντὸς ⟨τοῦ⟩ [ἐν]σκηνοβατουμένου· ὧν
ἀκούσονται μέν, οὐκ ὄψονται δὲ Μένανδρον, εἰ μὴ ἐν
ἄστει παρὰ Γλυκέρᾳ γένοιντο καὶ τὴν ἐμὴν εὐδαιμο-
νίαν ἴδοιεν, τὸν πάντῃ διὰ τὸ κλέος αὐτοῦ Μένανδρον
καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐμοὶ προσκείμενον. οὐ* 7
*μὴν ἀλλ' εἴγε ἄρα πόθος αἱρεῖ σέ τις καὶ τῶν ἐκεῖ
ἀγαθῶν καὶ εἰ μηδενὸς ἄλλου τῆς γε Αἰγύπτου, χρή-
ματος μεγάλου, καὶ τῶν αὐτόθι πυραμίδων καὶ τῶν
ἠχούντων ἀγαλμάτων καὶ τοῦ περιβοήτου λαβυρίνθου*

Φ x² *(Vat. 2 Flor. Π Δ)*

1 *ἐμαυτῆς*] *ἐμαυτῇ Φ*, *ἐμαυτὸν Vat. 2*, *ἐμαυτὴ Flor.* | *καὶ τρέμουσα*] hic colloc. Hirsch., post *Ἄρτεμιν* hab. *O* | 2 *ἕως*] *ἤ* (sic) *Π Δ*, *ἔστ'* Jacobs. | 3 [*τῶν δραμάτων*] del. Herch. (ed.), *τῶν χαρίτων* Mein., post praec. *προσωπεῖα* colloc. Pol. | 5 *ἔφην*] *ἐφάνην* Nab. | 7 ⟨*ι*⟩ add. Herch. | 9 *Πρωτέως*] *Πρωλέως Flor. Π Δ* | 10 *βουλόμενα*] *βουλόμεναι Δ* | 12—13 [*καὶ—θεραπόντων*] delevi (⟨*καὶ γραῶν*⟩ add. Reisk., pro *θεραπόντων* hab. *θεραπευόντων Φ*) | 13 ⟨*τοῦ*⟩ addidi | [*ἐν*] del. Cob. | 15 *γένοιντο Π Δ*, *γένοιτο* cet. | 16 *πάντῃ*] *πάνυ* deleto *διὰ—αὐτοῦ* Herch. (ed.) | 17 *προσκείμενον* Mein., περικείμενον O | 19 χρήματος] *καὶ ῥεύματος* cl. § 6 Maehl. | 21 ἠχούντων] . . . . ηχούντων Δ *nec non Π* ubi man. rec. add. περι

*καὶ τῶν ἄλλων ὅσα ὑπὸ χρόνου ἢ τέχνης παρ' αὐτοῖς
τίμια, δέομαί σου Μένανδρε, μὴ ποιήσῃ με πρόφασιν·
8 μηδέ με Ἀθηναῖοι διὰ ταῦτα μισησάτωσαν ἤδη τοὺς
μεδίμνους ἀριθμοῦντες, οὓς αὐτοῖς ὁ βασιλεὺς πέμψει
διὰ σέ. ἀλλ' ἄπιθι πᾶσι θεοῖς, ἀγαθῇ τύχῃ, δεξιοῖς
πνεύμασι, Διὶ οὐρίῳ. ἐγὼ γάρ σε οὐκ ἀπολείψω. μὴ
τοῦτο δόξῃς με λέγειν, οὐδ' αὐτὴ δύναμαι κἂν θέλω·
9 ἀλλὰ παρεῖσα τὴν μητέρα καὶ τὰς ἀδελφὰς ναυτὶς ἔσο-
μαι συμπλέουσά σοι· καὶ σφόδρα τῶν εὐθαλάσσων
γεγένημαι, εὖ [δ'] οἶδα, κἂν ἐκκλωμένης κώπης ναυ-
τιᾷς ἐγὼ [θεραπεύσω] θάλψω σου τὸ ἀσθενοῦν τῶν
πελαγισμῶν, ἄξω δέ σε ἄτερ μίτων Ἀριάδνη [εἰς Αἴ-
γυπτον], οὐ Διόνυσον ἀλλὰ Διονύσου θεράποντα καὶ
10 προφήτην. οὐδὲ ἐν Νάξῳ καὶ ἐρημίαις ναυτικαῖς
ἀπολειφθήσομαι τὰς σὰς ἀπιστίας κλαίουσα καὶ ποτνιω-
μένη. χαιρέτωσαν οἱ Θησεῖς ἐκεῖνοι καὶ τὰ ἄπιστα
τῶν πρεσβυτέρων ἀμπλακήματα. ἡμῖν δὲ βέβαια πάντα,
καὶ τὸ ἄστυ καὶ ὁ Πειραιεὺς καὶ ἡ Αἴγυπτος. οὐδὲν*

Φ x² (*Vat. 2 Flor. Π Δ*)

1 *ὑπὸ*] *ἀπὸ* Ald. | 5 *πᾶσι*] *πράεσι* Maehl., *ἐπ' αἰσίοις* Herch. | 7 *θέλω*] *θέλων Φ* | 8 *ναυτὶς ἔσομαι* Hemst., *αὐτῆς ἔσομαι O* (*αὐτῇ Φ*), *αὐτῇ σοῦ ἕξομαι* Reisk., *αὐτὰς ἔσομαι* Wagn. (ed.), *αὐτὴ ἔσ.* Seil. (ed.), *αὐτῆς ἔσ.* Perizon., *αὐτῆς ἔσ. σύμπλους* Cob., *αὐτίκα ἔσ.* Hirsch., *αὐτῆς συμπλεύσομαι* Fried. | 10 *γεγένημαι*] *γεγενήσομαι* Hemst. | [δ'] del. Ald. | *κἂν—ναυτιᾷς* Herm., *καὶ—ναυτίας O*, *καὶ—ναύταις* Wagn., del. *ναυτίας* Mein. | *ἐκκλωμένης*] *ἑλκομένης* vel *ἐλαυνομένης* Bergl., *κεκακωμένης* Mein. | 11 [*θεραπεύσω*] del. Herm. Post hoc verb. in vulg. plene interp. | *τῶν*] *ἐκ τῶν* Hemst. | 12 *μίτων* Bergl., *μύθων O* | *Ἀριάδνη*] *Ἀριάδνῃ Flor.*, *Ἀριάδνης Π Δ* | [*εἰς Αἴγυπτον*] del. Pol., scripsit *Ἀριάδνη ⟨οὐκ εἰς τὸν ἐν Κρήτῃ λαβύρινθον, ἀλλ'⟩ εἰς Αἴγυπτον, ⟨καὶ δεξιώσομαι⟩ οὐ* Mein. | 13 *οὐ—προφήτην*] del. Maehl. | 14 *ναυτικαῖς*] *Ναξιακαῖς* vel *ἀκταίαις* Mein., *ποντικαῖς* Maehl., *νησιωτικαῖς* Herch. (ed.), *νυστακτὶς* Pol. | 16 *ἄπιστα*] *ἄμιστα* (π supra lineam) *Π*, *ἄμισθα Δ* | 18 ante *οὐδὲν* hab. lac. sign. Vat. 2

*χωρίον ἡμῶν τοὺς ἔρωτας οὐχὶ δέξεται πλήρεις· κἂν
πέτραν οἰκῶμεν, εὖ οἶδα ἀφροδίσιον αὐτὴν τὸ εὔνουν
ποιήσει. πέπεισμαι μήτε χρημάτων σε [μήτε] περιου- 11
σίας μήτε πλούτου τὸ καθάπαξ ἐπιθυμεῖν, ἐν ἐμοὶ καὶ
τοῖς δράμασι τὴν εὐδαιμονίαν κατατιθέμενον· ἀλλ' οἱ
συγγενεῖς, ἀλλ' οἱ πατέρες, ἀλλ' οἱ φίλοι, σχεδὸν οἶσθα
πάντῃ πάντες πολλῶν δέονται, πλουτεῖν θέλουσι καὶ
χρηματίζεσθαι. σὺ μὲν οὐδέποτε περὶ οὐδενὸς αἰτιάσῃ 12
με οὔτε μικροῦ οὔτε μεγάλου, τοῦτο εὖ οἶδα, πάλαι
μὲν ἡττημένος μου πάθει καὶ ἔρωτι, νῦν δὲ ἤδη καὶ
κρίσιν προστεθεικὼς αὐτοῖς, ἧς μᾶλλον περιέχομαι,
Μένανδρε, φοβουμένη τῆς ἐμπαθοῦς φιλίας τὸ ὀλιγο-
χρόνιον· ἔστι γὰρ ὡς βίαιος ἡ ἐμπαθὴς φιλία οὕτω
καὶ εὐδιάλυτος· οἷς δὲ παραβέβλη[ν]ται καί ⟨τι⟩ βου-
λῆς, ἀρραγέστερον ἐν τούτοις ἤδη τὸ ἔργον ⟨ὂν⟩ οὔτε
ἀμιγὲς ἡδονῆς ἔσται [διὰ τὸ πάθος] οὔτε περιδεές.
θήσει δὲ σὺ τὴν ⟨αὐτὴν⟩ γνώμην, ὅς γε πολλάκις περὶ 13
τούτων αὐτὸς νουθετῶν με διδάσκεις. ἀλλ' εἰ καὶ σὺ*

Φ x^2 *(Vat. 2 Flor. Π Δ)*

1 *χωρίον*] *χρὶ* (sic) *Φ* | *πλήρεις*] *εὐμενές* Cob., *πλῆρες* scripto *τοῦ ἔρωτος* Pol. | *κἂν*] *καὶ* (superscr. *ἢν*) *Φ* | 2 *πέτραν*] *τροίαν* *Φ* | 3 [*μήτε*] del. Mein. | 6 *οἱ πατέρες* Mein., *οἱ πατρίς* *Φ*, *ἡ πατρίς* x^2. Fort. *ἀλλ' οἱ πατέρες, ἀλλ' οἱ συγγενεῖς* | 7 *θέλουσι*] *θέλλουσι* *Δ* | 10 *πάθει* Bergl., *πᾶσι* *O*, *πάθεσι* Lennep. | 13 *ἡ—φιλία*] del. Pol. | 14 [*ν*] delet addito ⟨*τι*⟩ Mein., *περιβέβληνται* (superscr. *παρα*) *Π*, *περιβέβληνται* *Φ* *Vat. 2 Flor.*, *παραβέβληνται καὶ βουλαὶ* Ald., idem sed *προβέβληνται* Reisk. | 15 *ἤδη*] *ἔτι* Seil., del. Mein. | ⟨*ὂν*⟩ hic add. Mein., post *ἀμιγὲς* scripto *ἡδοναῖς γε* Jacobs. | 16 *ἔσται* Mein., *τε καὶ* *O*, [*τε*] *καὶ* Bergl. | [*διὰ τὸ πάθος* (ita Mein., *πλῆθος* *O*, *ἦθος* Bergl.)] expunxi. Defendit suppleto *περιδεὲς* ⟨*διὰ τὸ ἦθος*⟩ Mein. | 17 *θήσει* Mein., *λύσει* *O*, *λύσεις* Ald. | ⟨*αὐτὴν*⟩ add. Maehl., καὶ σὺ ταύτῃ Pol. \ *ὅς γε* Mein., *ὥς με* *O* | 18 *με*] om. x^2 \ διδάσκεις\ ἐδίδασκες *Maehl.*

μή μέ τι μέμψῃ μηδὲ αἰτιάσῃ, δέδοικα τοὺς Ἀττικοὺς
σφῆκας, οἵτινες ἄρξονται πάντῃ με περιβομβεῖν ἐξιοῦσαν
ὡς αὐτὸν ἀφῃρημένην τῆς Ἀθηναίων πόλεως τὸν πλοῦ-
14 τον. ὥστε δέομαί σου Μένανδρε, ἐπίσχες, μηδέ πω
τῷ βασιλεῖ μηδὲν ἀντεπιστείλῃς. ἔτι βούλευσαι, περί-
μεινον ἕως ⟨ἂν⟩ κοινῇ γενώμεθα [καὶ] μετὰ τῶν φίλων
[καὶ] Θεοφράστου καὶ Ἐπικούρου. τάχα γὰρ ἀλλοιότερα
κἀκείνοις καὶ σοὶ φανεῖται ταῦτα. μᾶλλον δὲ [καὶ]
θυσώμεθα καὶ ἴδωμεν τί λέγει τὰ ἱερά, εἴτε λῷον εἰς
Αἴγυπτον ἡμᾶς ἀπιέναι εἴτε μένειν. καὶ χρηστηριασ-
θῶμεν εἰς Δελφοὺς πέμψαντες· πάτριος ἡμῖν ἐστι⟨ν
ὁ⟩ θεός. ἀπολογίαν ἕξομεν [καὶ πορευόμενοι καὶ μέ-
15 νοντες] πρὸς ἀμφότερα τοὺς θεούς. μᾶλλον δὲ ἐγὼ
τοῦτο ποιήσω· καὶ γὰρ ἔχω τινὰ νεωστὶ γυναῖκα ἀπὸ
Φρυγίας ἥκουσαν εὖ μάλα τούτων ἔμπειρον, γαστρο-
μαντεύεσθαι δεινὴν τῇ τῶν σπαρτῶν διατάσει νύκτωρ
καὶ τῇ τῶν θεῶν δείξει· καὶ οὐ δεῖ λεγούσῃ πιστεύειν,
16 ἀλλ' ἰδεῖν, ὡς ἔφη. διαπέμψομαι πρὸς αὐτήν. καὶ

Φ x^2 *(Vat. 2 Flor. ΠΔ)*

1 μή μέ] μήτε ΠΔ | 3 ἀφῃρημένην] ἀφῃρημένον Φ, ἀφῃρημένης ΠΔ | 4 Μένανδρε] Μένανδρος Φ | 6 ⟨ἂν⟩ addidi | [καὶ] ante μετὰ del. Maehl. (qui postea καὶ—φίλων ⟨βουλευσώμεθα⟩) | 7 [καὶ] post φίλων delevi | ἀλλοιότερα] ἀλλοιώτερα ΠΔ | 8 [καὶ] del. Herch. (ed.) | 9 ἴδωμεν *Flor.* Π, εἴδωμεν cet., εἰδῶμεν Mein. | 10 χρηστηριασθῶμεν] χρηστηριασώμεθα Herch. (ed.) | 11 πέμψαντες] del. Hemst. | ἡμῖν *Flor.*, ἡμῶν cet. | ⟨ν ὁ⟩ add. Ald. | 12 [καὶ—μένοντες] del. Cob. | 14 ἔχω] ἔγνωκα Jacobs. | νεωστὶ γυναῖκα] inv. ord. Hirsch. | 15 γαστρομαντεύεσθαι] ἀστρομαντεύεσθαι Schneid. Fort. [γαστρο] vid. sqq. | 16 τῇ] ⟨καὶ μαντεύεσθαι⟩ τῇ Seil., ⟨καὶ⟩ τῇ Mein. (ed.) | σπαρτῶν διατάσει] ἄστρων διαθέσει Arnald. fort. recte | νύκτωρ] νύκτωρ ⟨δὲ⟩ Mein. (ed.) | 17 θεῶν] νεκρῶν Herch. *(ed.) fort. recte.* Mulier fuisse videtur ἀστρόμαντις καὶ νεκρόμαντις | 18 ὡς ἔφη Seil., ὥς φασι O, ὥς φησι Wagn., ὄμμασιν *vel* ὀφθαλμοῖς Jacobs.

γάρ, ὥς φασι, καὶ κάθαρσίν τινα δεῖ προτελέσαι τὴν
γυναῖκα καὶ παρασκευάσαι τινὰ ζῷα [ἱερεῦσαι] καὶ
λιβανωτὸν ἄρρενα καὶ στύρακα μακρὸν καὶ πέμματα
σελήνης καὶ ἄγρια φύλλα τῶν ἄγνων. οἶμαι δὲ καὶ 17
σὲ φθήσεσθαι Πειραιόθεν ἐλθεῖν. ἢ δήλωσόν μοι σα-
φῶς μέχρι τίνος οὐ δύνασαι Γλυκέραν ἰδεῖν, ἵν' ἐγὼ
μὲν καταδράμω πρὸς σέ, τὴν δὲ Φρυγίαν ταύτην ἑτοι-
μάσωμαι ἤδη. καὶ εἰ μελετᾶν πειράζεις ἀπὸ σαυτοῦ
⟨ἐ⟩μὲ ⟨καὶ⟩ τὸν Πειραιᾶ καὶ τὸ[ν] ἀγρίδιον καὶ τὴν
Μουνυχίαν καὶ ⟨πάντα⟩ κατ' ὀλίγον ὅπως ἐκπέσωσι
τῆς ψυχῆς — οὐ δύναμαι ταῦτα ποιεῖν μὰ τοὺς θεούς,
οὐδὲ σὺ δύνασαι διαπεπλεγμένος ὅλως ἤδη μοι. κἂν 18
οἱ βασιλεῖς ἐπιστείλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ
σοὶ βασιλικωτέρα καὶ εὐσεβεῖ σοι κέχρημαι ἐραστῇ καὶ
ὅρκων ἱερῶν μνήμονι. ὥστε πειρῶ μᾶλλον, ἐμὴ φιλό- 19
της, θᾶσσον εἰς ἄστυ παραγενέσθαι, ὅπως εἴ γε μετα-

Φ x^2 (*Vat. 2 Flor. ΠΔ*)

1 φασι Seil., ἔφη *O*, ἔοικε Jacobs. | 2 ζῷα *ΠΔ*, ...α cet. | [ἱερεῦσαι] cancellavi, ἱερὰ Mein. | 3 στύρακα *ΠΔ*, στύραν cet. (στύρραν *Vat. 2*) | πέμματα σελήνης] σελήνας Mein. Malim πέμματα σεληναῖα | 4 φύλλα Mein., φῦλλα *ΠΔ*, φῦλα *Vat. 2*, φύλα *Flor.*, φύλοι Φ | ἄγνων Cob., ἀνών Φ, ἀνθρώπων x^2, ἀνθῶν Horreus, δρυῶν Bergl., ἀνθρύσκων Hemst., ἀνθερίκων vel ἀδιάντων vel ἀνθερίσκων Triller., ἀκανθῶν Jacobs., ἀνδραχνῶν Lacroz., θρόνων Arnald., ἀχράδων Mein., ἀγριόφυλλον καὶ ἀνθρωπόμορφον Seil. | 5 δήλωσόν] δηλῶσαί (sic) *ΠΔ* | σαφῶς] σαφὲς Φ | 6 ἰδεῖν] ἰδεῖναι Φ | 7 post ἑτοιμάσωμαι plene interp. ante Jacobs. | 8 καὶ εἰ Jacobs., καὶ ἃ *O*, καὶ δὴ vel εἰ δὲ καὶ Mein., καὶ ⟨γὰρ⟩ ἃ Maehl. | 9 ἐμὲ Jacobs., με *O*, μὰ Ald. | ⟨καὶ⟩ add. Jacobs. | [ν] del. Ald., τὸν Ἀγρίππειον Meursius | 10 ⟨πάντα⟩ add. Jacobs. | 11 ταῦτα ποιεῖν Seil., πάντα ποιεῖν *O*, πάντα παρεῖναι Bergl. | 12 οὐδὲ σὺ Jacobs., σὺ δὲ οὐ *O*, σύ τε οὐ vel σὺ δ' ἐμὲ οὐ Bergl. | 13 ἐπιστείλωσι] ἐπεὶ στείλωσι Φ | 15 ἱερῶν μνήμονι Φ *Flor.*, ἱερομνήμονι cet. | ἐμὴ *ΠΔ*, ἐμοὶ cet. | 16 εἴ γε] εἴ τε x^2, εἴ τι Mein.

βουλεύσαιο ⟨περὶ⟩ τῆς πρὸς βασιλέα ἀφίξεως, ἔχῃς εὐτρεπισμένα τὰ δράματα ⟨καὶ⟩ ἐξ αὐτῶν ἃ μάλιστα ὀνῆσαι δύναται Πτολεμαῖον καὶ τὸν αὐτοῦ Διόνυσον — οὐ δημοκρατικόν, ὡς οἶσθα — εἴτε Θαΐδα εἴτε Μισούμενον εἴτε Θρασυλέοντα εἴτε Ἐπιτρέποντας εἴτε Ῥαπιζομένην εἴτε Σικυών⟨ιον, εἴθ' ὅτι⟩οῦν ἄλλο. τί δέ; ἐγὼ θρασεῖα καὶ τολμηρά τις εἰμι τὰ Μενάνδρου διακρίνειν ἰδιῶτις οὖσα; ἀλλὰ σοφὸν ἔχω σου τὸν
20 ἔρωτα καὶ ταῦτ' εἰδέναι δύνασθαι. σὺ γάρ με ἐδίδαξας εὐφυᾶ γυναῖκα ταχέως παρ' ἐρώντων μανθάνειν· ἀλλ' εἰ κοινωνοῦσιν οἱ ἔρωτες σπεύδοντες, αἰδούμεθα ⟨μὰ⟩ τὴν Ἄρτεμιν ἀνάξιοι ὑμῶν εἶναι μὴ θᾶττον μανθάνουσαι. πάντως ⟨δὲ⟩ δέομαι, Μένανδρε, κἀκεῖνο παρασκευάσασθαι τὸ δρᾶμα ἐν ᾧ ἐμὲ γέγραφας, ἵνα κἂν μὴ παραγένωμαι σὺν σοί, διὰ σοῦ πλεύσω πρὸς Πτολε-

Φ x² *(Vat. 2 Flor. ΠΔ)*

1 ⟨περὶ⟩ add. Reisk. | ἔχῃς Ald., ἔχοις *O* (ἔχεις *Δ*) | 2 εὐτρεπισμένα] ηὐτρεπισμένα Herch. (ed.) | ⟨καὶ⟩ add. Reisk. (qui deinde τῶν δραμάτων ἃ) | 3 ὀνῆσαι] ἦσαι Cob., κνῆσαι Pol. | αὐτοῦ] σαυτοῦ Herch. (ed.) | 4 Θαΐδα Mein., Θᾶιδης (sic) *Φ*, Θαΐδης *Vat. 2*, Θαΐδες cet., Θαΐδας Ald. | 5 Ἐπιτρέποντας] Ἐπιτρέποντος *Φ*, Ἐπιτρέποντες *Flor.* | 6 ⟨ιον, εἴθ' ὅτι⟩ suppl. Mein. (ed.) distinctis sqq.; lacunam novem (*ΠΔ* viginti) litt. hab. *O*, ⟨ιον⟩ jam add. Bergl., volebat ⟨ιον⟩ εἴτ' ἄλλο τι. ἢ ἐγὼ — οὖσα; Seil. | 9 ἔρωτα] ἔρωτα ὥστε Maehl. | 10 παρ' ἐρώντων] περὶ ἐρῶν τῶ (sic) *Φ*, παρ' ἐρώτων *Δ*, παρ' ἀνδρῶν Metr., περίεργον γίγνεσθαι τῷ Herm. (fingens versum Menandreum εὐφυὴς γυνή | ταχέως περίεργος γίγνεται τῷ μανθάνειν), idem omisso γίγνεσθαι τῷ Pol. | 10—11 ἀλλ' εἰ κοινωνοῦσιν sublata plen. interp. post σπεύδοντες Herm., ἀλλ' οἰκονομοῦσιν *O*, ἀλλὰ κοινωνοῦσιν Maehl. | 11 οἱ ἔρωτες Metr., ὁρᾶτε *O*, ἔρωτες jam Ald. | ⟨μὰ⟩ add. Herel. | 12 ὑμῶν Ald., ἡμῶν *O* | 13 πάντως] πάντα *Φ* | ⟨δὲ⟩ add. Mein. | *14 ἐμὲ γέγραφας* scripsi, με γέγραφας *Δ*, μεταγέγραφας cet. *(τα exp. in Π)* | 15 διὰ σοῦ Jacobs., δι' ἄλλου O, δι' αὐτοῦ *Bergl.*

*μαῖον, καὶ μᾶλλον αἴσθηται ὁ βασιλεὺς ὅσον ἰσχύει
καὶ παρὰ σοὶ γεγραμμένους φέρειν ἑαυτοῦ τοὺς ἔρω-
τας ἀφεὶς ἐν ἄστει τοὺς ἀληθινούς. ἀλλ' οὐδὲ τού-* 21
*τους ἀφήσεις, εὖ ἴσθι· κυβερνᾶν ἢ πρῳρατεύειν, ἕως
δεῦρο παραγίνῃ πρὸς ἡμᾶς Πειραιόθεν, μαθήσομαι,
ἵνα σε ταῖς ἐμαῖς χερσὶν ἀκύμονα ναυστολήσω πλέουσα,
εἰ τοῦτο ἄμεινον εἶναι φαίνοιτο. φανείη δέ, ὦ θεοὶ
πάντες, ὃ κοινῇ λυσιτελήσει, καὶ μαντεύσαιτο ἡ Φρυγία
τὰ συμφέροντα κρεῖσσον τῆς θεοφορουμένης σου κόρης.
ἔρρωσο.*

Φ x² *(Vat. 2 Flor. ΠΔ)*

1 *καὶ* Seil., *κἂν O* | *ὅσον—σοὶ*] *ὅσον ἰσχύω* [*καὶ*] *παρά σοι* ⟨*ὥστε*⟩ Pol. Malim *ὅτι τοσοῦτον—ὥστε* | 4 *ἀφήσεις* (*ἀφίεις Φ*) *εὖ ἴσθι·*] *ἀφήσεις. εὖ ἴσθι*, Mein. (ed.) | 5 *Πειραιόθεν ΠΔ*, *Πειραιάθεν* cet. Vid. § 17 | *μαθήσομαι* Cob., *μνηθήσομαι O* | 6 *ἀκύμονα*] *ἀπήμονα* Bergl. | *πλέουσα*] ⟨*συμ*⟩*πλέουσα* Pol. | 8 *λυσιτελήσει* Mein., *λυσιτελὲς εἶ O* (*ᾖ ΠΔ*) | 9 *θεοφορουμένης*] *θεοφορουμένου Φ*, *θεοφορήτου ΠΔ*. Glyceram hic jocari de fab. Menandr. *Θεοφορουμένη*, jam Bergl. vidit

APPENDIX.

Fragm. scriptoris incerti [fragm. 5].

Αἱ ἐν Κορίνθῳ ἑταῖραι ταῖς ἐν ἄστει χαίρειν.

Οὐκ ἐπύθεσθε τὰ νεώτερα νῦν πράγματα; οὐκ ἠκούσατε καινὸν ἑταίρας ὄνομα; ὢ πόσον ἡμῖν ἐπιτετείχισται χρῆμα, Λαῒς ὑπὸ Ἀπελλοῦ τοῦ ζωγράφου θηριοτροφηθεῖσα. ἀθλίαι, κλείσατε τὰ ἐργαστήρια αὐτῶν, μᾶλλον δὲ καὶ ἑαυτὰς ἀποκλείσατε· μία νῦν ἐστιν ἡ τὴν Ἑλλάδα ὅλην διασοβοῦσα γυνή, μία· Λαῒς ἐν τοῖς κουρείοις, Λαῒς ἐν τοῖς θεάτροις, ἐν ταῖς ἐκκλησίαις, ἐν τοῖς δικαστηρίοις, ἐν τῇ βουλῇ, πανταχῇ· πάντες αὐτὴν λαλοῦσιν, νὴ τὴν Ἀφροδίτην, καὶ οἱ
3 *κωφοὶ διανεύουσιν ἀλλήλοις τὸ ἐκείνης κάλλος· οὕτω γλῶσσα γίνεται καὶ τοῖς λαλεῖν μὴ δυναμένοις Λαΐς. εἰκότως· ἐνδεδυμένη μὲν γὰρ εὐπροσωποτάτη ἐστίν, ἐκδῦσα δὲ ὅλη πρόσωπον φαίνεται, οὔτε κατάξηρος οὔτε κατάσαρκος, ἀλλ' οἵας λέγομεν ἡμεῖς τὰς ἰσχνεγ-*

Φ x[2] *(Vat. 2 Flor. Π Δ)*

1 Hoc fragm. Alciphroneum non est: nunquam ille in titulo add. *χαίρειν* nec ullam a pluribus ad plures mitti ep. finxit | 4 *χρῆμα*] *ἔρυμα* Mein. | 5 *θηριοτροφηθεῖσα*] *θηριοτραφηθεῖσα* *Δ*, *κηρογραφηθεῖσα* Valck. | *αὐτῶν*] *αὐτῶν* *Vat. 2*, *ὑμῶν* Herch. (ed.) | 8 *κουρείοις*] *κουρίοις* *Vat. 2* | 12 *λαλεῖν μὴ*] *μὴ λαλεῖν* *Vat. 2* | *Λαΐς*] om. *Π Δ* | 14—15 οὔτε—οὔτε] οὐδὲ—οὐδὲ *Π Δ* | 15 *ἰσχνεγχύλους* *Π*, ἰσχνεσχέλους *Δ*, ἰσχν' ἐγχύλους cet., *ἰσχνὰς ἐγχύλους* Dorvill., ἰσχνῶς ἐγχύλους Abresch.

χύλους· τρίχες ἐνουλισμέναι φύσει, ξανθίζουσαι δὲ 4
ἀφαρμάκευτα καὶ τῶν ἀκρωμίδων ὑπερκεχυμέναι μαλακῶς. ὀφθαλμοὶ δὲ νὴ τὴν Ἄρτεμιν ὅλης σελήνης εὐκυκλότεροι· καὶ τὸ μέλαν αἱ κόραι μελάνταται καὶ τὸ κύκλῳ λευκὸν ....

Etym. Gud. 342, 36

τῷ Θηριππίδῃ ἐστὶ πατὴρ κυμινοκίμβιξ καὶ μόνον οὐ ταριχεύων τοὺς θαλλοὺς τῶν κραδῶν.

Etym. Magn. 156, 33

ὡς οὐκ οἶδ' εἴ τις ἰχθὺς ὑπὸ τοῦ δελέατος τῆς ἡδονῆς ἠσπαλιεύθην καὶ ἐνείχετό μοι τὸ ἄγκιστρον.

Etym. Magn. 438, 16

σὺ δ' αὐτόχρημα ὁ ἐκ Τροιζῆνος Ἱππόλυτος συνελκύσας τὰς ὀφρῦς καὶ τὸ χεῖλος δακὼν καὶ κάτω κύψας ὡς ἡρῷον ἡμᾶς ἄφθογγος παρατρέχεις.

usque ad vrs 5 Φ x² *(Vat. 2 Flor. Π Δ)*

1 τρίχες Π Δ, τρίχας cet. | 2 ἀφαρμάκευτα Δ, ἀφαρμάκευστα cet. | 3 ὅλης] ὅλης ⟨τῆς⟩ Wagn. (ed.), αὐτῆς Herch. | 4 αἱ κόραι μελάνταται] αὐτῶν μελάντατον cl. Aristaen. I 1 Herch. (ed.) | 5 λευκὸν] λευκὸν ⟨λευκότατον⟩ Nab.

6 haec Alciphroni tribuit Mein. | κυμινοκίμβιξ Nauck., κύμινον cod., κυμινοπρίστης Mein.

8 haec et sqq. Alciphronea esse censet Nauck. | 8 τις] ὥσπερ? | 9 ἠσπαλιεύθην Nauck., ἀσπαλιεύθην cod.

NUMERORUM EPISTULARUM INDEX.

olim	nunc	olim	nunc	olim	nunc
I 1—10	I 1—10	III 6	III 3	III 46	III 10
I 11	I 14	III 7	III 4	III 47	III 11
I 12	I 15	III 8	III 5	III 48	III 12
I 13	I 16	III 9	II 1	III 49	III 13
I 14	I 17	III 10	II 2	III 50	III 14
I 15	I 18	III 11	II 8	III 51	III 15
I 16	I 19	III 12	II 9	III 52	III 16
I 17	I 20	III 13	II 10	III 53	III 17
I 18	I 21	III 14	II 11	III 54	III 18
I 19	I 22	III 15	II 12	III 55	III 19
I 20	III 37	III 16	II 13	III 56	III 20
I 21	III 38	III 17	II 14	III 57	III 21
I 22	III 39	III 18	II 15	III 58	III 22
I 23	III 40	III 19	II 16	III 59	III 23
I 24	II 3	III 20	II 17	III 60	III 24
I 25	II 4	III 21	II 18	III 61	III 25
I 26	II 5	III 22	II 19	III 62	III 26
I 27	II 6	III 23	II 20	III 63	III 27
I 28	II 7	III 24	II 21	III 64	III 28
I 29	IV 2	III 25	II 22	III 65	III 29
I 30	IV 3	III 26	II 23	III 66	III 30
I 31	IV 4	III 27	II 24	III 67	III 31
I 32	IV 5	III 28	II 25	III 68	III 32
I 33	IV 6	III 29	II 26	III 69	III 33
I 34	IV 7	III 30	II 27	III 70	III 34
I 35	IV 8	III 31	II 28	III 71	III 35
I 36	IV 9	III 32	II 30	III 72	III 36
I 37	IV 10	III 33	II 31	III 73	II 29
I 38	IV 11	III 34	II 32	III 74	III 42
I 39	IV 14	III 35	II 33	fr. 1	Cratetis est (ex ep. X)
I 40	IV 15	III 36	II 34	fr. 2	III 41
II 1	IV 16	III 37	II 35	fr. 3	IV 1
II 2	IV 17	III 38	II 36	fr. 4	IV 12
II 3	IV 18	III 39	II 37	fr. 5	fragm. scriptoris incerti (in appendice)
II 4	IV 19	III 40	II 38	fr. 6	IV 13.
III 1	I 11	III 41	II 39		
III 2	I 12	III 42	III 6		
III 3	*I 13*	III 43	III 7		
III 4	*III 1*	III 44	III 8		
III 5	*III 2*	III 45	III 9		

INDEX VERBORUM.[1]

[1] *Indicantur* epp. paragraphi; verbis spuriis apposui *uncos quadratos [ ]*, dubiis interrog. signum (?), conjectura in *integrum restitutis* hoc: (conj.).

LIPSIAE: TYPIS B. G. TEUBNERI.



…), I 5, I 6 et I 7 init.